θοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐ-
τήν. ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκ-
να σου ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσ-
σία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθε-
λήσατε. ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔ-
ρημος. λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀ-

τ in eo qui habitat in ipso. Et qui iurat C
in celo: iurat in throno
dei: τ in eo qui sedet super eum.
Ve vobis scribe τ pharisei hypocrite Luce. 11. f.
qui decimatis mentam et
anetũ et cyminuz: et reliquistis que
grauiora sunt legis iudicium τ miam
τ fidem. Hec oportuit facere: τ illa
non omittere. Duces ceci excolantes
culicẽ: camelum autem glutientes.
Ve vobis scribe et pharisei Luce. 11. f.
hypocrite q̃ mũdatis qđ de foris ẽ cali
cis et parapsidis: intꝰ aũt pleni estis
rapina et imundicia. Pharisee sup. 15. b.
cece munda prius qđ intus est calicis
et parapsidis: vt fiat et
id qđ de foris est mũdũ. Ve vobis scri Luce. 11. f.
be τ pharisei hypocrite qꝛ similes estis Act. 23. a.
sepulchris dealbatis: que a
foris parẽt hoibꝰ speciosa: itꝰ ṽo sũt ple
na ossibꝰ mortuorũ et omni spurcitia.
Sic et vos a foris quidem paretis Rom. 1. c.
hominibus iusti: intus autẽ pleni estis sup. 7. d.
hypocrisi et iniq̃tate. Ve vobis scribe Luce. 11. g.
τ pharisei hypocrite qui edificatis
sepulchra prophetarum et ornatis
monumenta iustorum: et dicitis
Si fuissemus in diebꝰ patrũ nostrorũ: D
non essemus socij eorum in sanguine
ꝓphetaꝝ. Itaq; testionio estis vobismet- Luce. 11. g.
ipsis: qꝛ filij estis eoꝝ q̃ ꝓphetas occi- 1. Thes. 2. d
derunt. Et vos implete mensuram
patrũ vrõꝝ. Serpẽtes genimia vipaꝝ: sup. 3. c.
quomodo fugietis a iudicio gehenne? Luce. 3. b.
Jdõ dico vobis. Ecce ego mitto ad vos Marc. 13. g
prophetas et sapientes et scribas:
et ex illis occidetis et crucifigetis
et ex eis flagellabitis in synagogis Act. 5. d.
vestris: et persequemini de ciuitate 2. Cor. 11. c
in ciuitatẽ vt veniat sup vos ois sãguis
q̃ effusus est sup terrã a sãguine iustꝰ Hebr. 11. a.
abel iusti vsq; ad sanguinem
zacharie filij barachie quez occidistis
inter templum et altare. Amen
dico vobis: venient hec omnia super
generationẽ istam. Hierusalem hierusa Luce. 13. g.
lem: que occidis prophetas et lapidas
eos qui ad te missi sunt:
quotiens volui congregare filios
tuos quẽadmodũ gallina cõgregat
suos sub alas: et noluisti. pullos
Ecce relinquet vobis domus vestra de
serta. Dico ei vobis nõ me videbitis amo

πάρτι, ἕως ἂν εἴπητε, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. Cap. 24.

Καὶ ἐξελθὼν ὁ ἰησοῦς ἐπορεύετο ἀπὸ τοῦ ἱεροῦ. καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ. ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς. οὐ βλέπετε ταῦτα πάντα; ἀμὴν λέγω ὑμῖν οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ καταλυθήσεται. καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν λέγοντες. εἰπὲ ὑμῖν πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος. καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν αὐτοῖς. βλέπετε μήτις ὑμᾶς πλανήσῃ. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες. ἐγώ εἰμι ὁ χριστός, καὶ πολλοὺς πλανήσουσι. μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων. ὁρᾶτε μὴ θροεῖσθε, δεῖ γὰρ πάντα γενέσθαι, ἀλλ' οὔπω ἐστὶ τὸ τέλος. ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ καὶ σεισμοὶ κατὰ τόπους. πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων. τότε παραδώσουσιν ὑμᾶς εἰς θλίψιν, καὶ ἀποκτενοῦσιν ὑμᾶς, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου. καὶ τότε σκανδαλισθήσονται πολλοί καὶ ἀλλήλους παραδώσουσι, καὶ μισήσουσιν ἀλλήλους. καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσι πολλούς. καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι. καὶ τότε ἥξει τὸ τέλος. ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ δανιὴλ τοῦ προφήτου ἑστὸς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω. τότε οἱ ἐν τῇ ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη. ὁ ἐπὶ τοῦ δώματος μὴ καταβαινέτω ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ. καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ σαββάτῳ. ἔσται γὰρ τότε θλίψις μεγάλη οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ' οὐ μὴ γένηται. καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ. διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. τότε ἐάν τις ὑμῖν εἴπῃ ἰδοὺ ὧδε ὁ χρι=

do donec dicatis. Benedictus qui venit in nomine domini. Cap. 24.

Et egreſſus ieſus de templo ibat. Et acceſſerunt diſcipuli eius vt oſtenderent ei edificationes templi. Ipſe autem reſpondens dixit illis. Videtis hec omnia? Amen dico vobis non relinquetur hic lapis ſuper lapidem: qui non deſtruatur. Sedente autem eo ſuper montem oliueti: acceſſerunt ad eum diſcipuli ſecreto dicentes. Dic nobis quando hec erunt: et quod ſignum aduentus tui et conſummationis ſeculi? Et reſpondens ieſus dixit eis. Videte ne quis vos ſeducat. Multi enim venient in nomine meo dicentes. Ego ſum chriſtus: et multos ſeducent. Audituri enim eſtis prelia et opiniones preliorum: videte ne turbemini. Oportet enim hec fieri: ſed nondum eſt finis. Conſurget enim gens in gentem: et regnum in regnum: et erunt peſtilentie et fames et terremotus per loca. Hec autem omnia initia ſunt dolorum. Tunc tradent vos in tribulationem: et occident vos: et eritis odio omnibus gentibus propter nomen meum. Et tunc ſcandalizabuntur multi: et inuicem tradent: et odio habebunt inuicem. Et multi pſeudoprophete ſurgent: et ſeducent multos. Et quoniam abundabit iniquitas: refrigeſcet charitas multorum. Qui autem perſeuerauerit vſque in finem: hic ſaluus erit. Et predicabitur hoc euangelium regni in vniuerſo orbe in teſtimonium omnibus gentibus: et tunc veniet conſummatio. Cum ergo videritis abominationem deſolationis: que dicta eſt a daniele propheta ſtantem in loco ſancto: qui legit intelligat. Tunc qui in iudea ſunt fugiant ad montes: et qui in tecto non deſcendat tollere aliquid de domo ſua: et qui in agro non reuertatur tollere tunicam ſuam. Ve autem pregnantibus et nutrientibus in illis diebus. Orate autem vt non fiat fuga veſtra in hieme vel ſabbato. Erit enim tunc tribulatio magna qualis non fuit ab initio mundi vſque modo neque fiet. Et niſi breuiati fuiſſent dies illi: non fieret ſalua omnis caro: ſed propter electos breuiabuntur dies illi. Tunc ſi quis vobis dixerit: ecce hic eſt chriſtus

A
Marc.13.a Luce.19.g et.21.b.
Marc.13.b Luce.21.b. Eph.5.b. 1.Cor.5.d. Collo.2.d.
Mar.13.b. Luce.21.c.
Mar.13.b. Luce.21.c. Joha.15.f.
B
ſup.10.c. Marc.13.c Rom.10.c Actu.2.b.
Mar.13.d. Danie.9.g.
Marc.13.d Luce.21.d.
Mar.13.d. Luce.21.d. Eſaie.13.b Ezech.13.c
Marc.13.d Luce.21.e. Mar.13.e.
Marc.13.e. Luce.17.c.



Digitized by Google

στός ἢ ὧδε, μὴ πιστεύσητε. ἐγερθήσονται
γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται,
καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα,
ὥστε πλανῆσαι εἰ δυνατὸν καὶ τοὺς ἐκλε
κτούς. ἰδοὺ προείρηκα ὑμῖν. ἐὰν οὖν εἴπω
σιν ὑμῖν ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστί, μὴ ἐξέλθη
τε. ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε. ὥσ
περ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατο
λῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσ
ται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώ
που. ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συνα
χθήσονται οἱ ἀετοί. εὐθέως δὲ μετὰ τὴν
θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισ
θήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος
αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ
οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σα
λευθήσονται, καὶ τότε φανήσεται τὸ σημεῖ
ον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ.
καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς
γῆς, καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου
ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ
μετὰ δυνάμεως καὶ δόξης πολλῆς. καὶ ἀ
ποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλ
πιγγος καὶ φωνῆς μεγάλης. καὶ ἐπισυνάξου
σι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων
ἀνέμων ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐ
τῶν. ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβο
λήν. ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἀ
παλὸς καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι
ἐγγὺς τὸ θέρος. οὕτως καὶ ὑμεῖς ὅταν ἴδη
τε ταῦτα πάντα, γινώσκετε ὅτι ἐγγύς ἐστιν
ἐπὶ θύραις. ἀμὴν λέγω ὑμῖν οὐ μὴ παρέλ
θῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα ταῦτα γένη
ται. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ
δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. περὶ δὲ
τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν
οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πα
τήρ μου μόνος. ὥσπερ δὲ αἱ ἡμέραι τοῦ νῶε,
οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ
ἀνθρώπου. ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέ
ραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγον
τες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζον
τες ἄχρι ἧς ἡμέρας εἰσῆλθε νῶε εἰς τὴν κιβω
τόν, καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυ
σμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ
παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. τότε
δύο ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς παραλαμ
βάνεται, καὶ ὁ εἷς ἀφίεται. δύο ἀλήθουσαι
ἐν τῷ μύλωνι, μία παραλαμβάνεται καὶ
μία ἀφίεται. γρηγορεῖτε οὖν ὅτι οὐκ οἴδα
τε ποίᾳ ὥρᾳ ὁ κύριος ὑμῶν ἔρχεται. ἐκεῖνο
δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης
ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρη

aut illic: nolite credere. Surgent Mar.13.c.
enim pseudochristi et pseudoprophete
et dabunt signa magna et prodigia:
ita vt in errorem inducantur si fieri potest etiam ele
cti. Ecce predixi vobis. Si ergo dixerit Luce.17.c.
vobis ecce in deserto est: nolite exire.
ecce in penetralibus: nolite credere. Sicut Luce.17.c.
enim fulgur exit ab oriente
et paret vsque in occidentem: ita erit
et aduentus filij hominis.
Vbicunque fuerit corpus illuc congregabi C
tur et aquile. Statim autem post Luce.17.g
tribulationem dierum illorum sol obscurabitur Iohelis.2.
et luna non dabit lumen Esa.13.b.
suum: et stelle cadent de Marc.13.f.
celo: et virtutes celorum commouebuntur:
et tunc parebit signum
filij hominis in celo.
Et tunc plangent omnes tribus
terre: et videbunt filium hominis
venientem in nubibus celi
cum virtute multa et maiestate. Et mittet Marc.13.f.
angelos suos cum tuba
et voce magna et congregabunt
electos eius a quattuor
ventis: a summis celorum vsque ad terminos eorum.
Ab arbore autem fici discite parabolam: Marc.13.f.
cum iam ramus eius tener fuerit Luce.21.f.
et folia nata: scitis quia
prope est estas. Ita et vos cum videritis
hec omnia: scitote quia prope est Marc.13.g
in ianuis. Amen dico vobis quia non preteri Luce.21.f.
bit generatio hec donec omnia ista fiant.
Celum et terra transibunt:
verba autem mea non preteribunt. De
die autem illa et hora nemo scit:
neque angeli celorum nisi pater
solus. Sicut autem in diebus noe: Luce.17.f.
ita erit et aduentus filij 1.Pe.3.b.
hominis. Sicut enim erant in diebus D
ante diluuium comedentes
et bibentes: nubentes et nuptum tradentes:
vsque ad eum diem quo intrauit noe in arcam:
et non cognouerunt donec venit diluuium
et tulit omnes: ita erit et
aduentus filij hominis. Tunc Luc.17.g.
duo erunt in agro: vnus assumetur
et vnus relinquetur. Due molentes
in mola: vna assumetur et vnus relinquetur
vna relinquetur. Duo in lecto: vnus assumetur et
Vigilate ergo quia nescitis qua hora dominus vester Marc.13.g
venturus sit. Illud autem scitote quoniam si sciret Luce.12.c.
paterfamilias qua hora fur venturus esset: vigi Apoca.3.a

Digitized by Google

σεν αν, και ουκ αν είασε διορυγήναι την οικίαν αυτού. διατούτο και υμείς γίνεσθε έτοιμοι, ότι η ώρα ου δοκείτε, ο υιός του ανθρώπου έρχεται. τις άρα εστίν ο πιστός δούλος και φρόνιμος, ον κατέστησεν ο κύριος αυτού επί της θεραπείας αυτού του διδόναι αυτοίς την τροφήν εν καιρώ. μακάριος ο δούλος εκείνος ον ελθών ο κύριος αυτού ευρήσει ποιούντα ούτως. αμήν λέγω υμίν ότι επί πάσι τοις υπάρχουσιν αυτού καταστήσει αυτόν. εάν δε είπη ο κακός δούλος εκείνος εν τη καρδία αυτού, χρονίζει ο κύριος μου ελθείν, και άρξηται τύπτειν τους συνδούλους, εσθίειν δε και πίνειν μετά των μεθυόντων, ήξει ο κύριος του δούλου εκείνου εν ημέρα η ου προσδοκά και εν ώρα η ου γινώσκει, και διχοτομήσει αυτόν, και το μέρος αυτού μετά των υποκριτών θήσει. εκεί έσται ο κλαυθμός και ο βρυγμός των οδόντων.

Cap. 25.

Τότε ομοιωθήσεται η βασιλεία των ουρανών δέκα παρθένοις, αίτινες λαβούσαι τας λαμπάδας αυτών εξήλθον εις απάντησιν του νυμφίου. πέντε δε ήσαν εξ αυτών φρόνιμοι και αι πέντε μωραί. αίτινες μωραί λαβούσαι τας λαμπάδας αυτών, ουκ έλαβον μεθ εαυτών έλαιον. αι δε φρόνιμοι έλαβον έλαιον εν τοις αγγείοις αυτών μετά των λαμπάδων αυτών. χρονίζοντος δε του νυμφίου, ενύσταξαν πάσαι και εκάθευδον. μέσης δε νυκτός κραυγή γέγονεν. ιδού ο νυμφίος έρχεται, εξέρχεσθε εις απάντησιν αυτού. τότε ηγέρθησαν πάσαι αι παρθένοι εκείναι, και εκόσμησαν τας λαμπάδας αυτών. αι δε μωραί ταις φρονίμοις είπον. δότε ημίν εκ του ελαίου υμών, ότι αι λαμπάδες ημών σβέννυνται. απεκρίθησαν δε αι φρόνιμοι λέγουσαι. μήποτε ουκ αρκέσει ημίν και υμίν. πορεύεσθε δε μάλλον προς τους πωλούντας και αγοράσατε εαυταίς. απερχομένων δε αυτών αγοράσαι, ήλθεν ο νυμφίος, και αι έτοιμοι εισήλθον μετ αυτού εις τους γάμους, και εκλείσθη η θύρα. ύστερον δε έρχονται και αι λοιπαί παρθένοι λέγουσαι. κύριε κύριε άνοιξον ημίν. ο δε αποκριθείς είπεν. αμήν λέγω υμίν, ουκ οίδα υμάς. γρηγορείτε ουν ότι ουκ οίδατε την ημέραν ουδέ την ώραν εν η ο υιός του ανθρώπου έρχεται. ώσπερ γαρ άνθρωπος αποδημών εκάλεσε τους ιδίους δούλους, και παρέδωκεν αυτοίς τα υπάρχοντα αυτού, και ω μεν έδωκε πέντε τάλαντα, ω δε δύο, ω δε εν, εκάστω κατά την ιδίαν

laret vtiqꝫ et non ſineret ꝑfodi domum ſuam. Ideo et vos eſtote parati: quia qua neſcitis hora filius hoīs ventur⁹ eſt. Quiſputas eſt fidelis ſeruus et prudens: quē conſtituit dñs ſuper familiam ſuam vt det illis cibum in tempore. Beatus ille ſeruus quē cū venerit domin⁹ ei⁹ inuenerit ſic facientem. Amen dico vobis: quoniā ſup omnia bona ſua conſtituet eum. Si autē dixerit mal⁹ ſeruus ille in corde ſuo: morā facit domin⁹ me⁹ venire: et ceperit ꝑcutere conſeruos ſuos: manducet aūt et bibat cum ebrioſis: veniet dominus ſerui illius in die qua non ſperat et hora qua ignorat: et diuidet eū partemqꝫ eius ponet cū hypocritis: illic erit fletus et ſtridor dentium.

Luce.12.e. Luce.12.e. Apo.16.d. 2.Cor.5.a. ſup.22.c. j.25.c.

Cap. 25.

A

Tunc ſimile erit regnum celorum decem virginibus que accipientes lampades ſuas exierunt obuiam ⸢erāt ſponſo et ſponſe. Quinqꝫ autem ex eis fatue: ⁊ qnqꝫ prudentes. Sꝫ qnqꝫ fatue acceptis lampadibus non ſumpſerunt oleū ſecū. Prudentes vero acceperunt oleum in vaſis ſuis cum lampadibus. Moram autem faciente ſpōſo: dormitauerūt omnes et dormierūt. Media āt nocte clamor fact⁹ ē ecce ſponſus venit exite obuiam ei. Tunc ſurrexerunt omnes virgines ille et ornauerunt lampades ſuas. Fatue autē ſapientibus dixerūt. Date nobis de oleo veſtro: quia lāpades noſtre extinguntur. Reſponderunt prudētes dicētes. Neforte nō ſufficiat nobis et vobis: ite potius ad vendentes et emite vobis. Dum autem irent emere: venit ſponſus ⁊ q̄ parate erant intrauerūt cū eo ad nuptias: ⁊ clauſa eſt ianua. Nouiſſime vero veniūt et reliq̄ ꝟgines dicētes. Domine domine aperi nobis. At ille rn̄dēs ait. Amen dico vobis ne ſcio vos. Vigilate itaqꝫ quia neſcitis diem neqꝫ horam. Sicut enim homo peregre proficiſcēs vocauit ſeruos ſuos et tradidit illis bona ſua et vni dedit quinqꝫ talenta: ⸢p alij āt duo: alij ꝟo vnū: vnicuiqꝫ ſcd̄ꝫ

Theſſa.5.a ſup.7.c. Luce.13.e. j.16.d. Luce.19.b. Marc.13.g

B

δύναμιν, καὶ ἀπεδήμησεν εὐθέως. πορευ-
θεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, εἰργά-
σατο ἐν αὐτοῖς καὶ ἐποίησεν ἄλλα πέντε τά-
λαντα. ὡσαύτως καὶ ὁ τὰ δύο, ἐκέρδησε καὶ
αὐτὸς ἄλλα δύο. ὁ δὲ τὸ ἓν λαβὼν, ἀπελ-
θὼν ὤρυξεν ἐν τῇ γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύ-
ριον τοῦ κυρίου αὐτοῦ. μετὰ δὲ χρόνον
πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκεί-
νων, καὶ συναίρει λόγον μετ᾽ αὐτῶν. καὶ
προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν,
προσήνεγκεν ἄλλα πέντε τάλαντα λέγων.
κύριε, πέντε τάλαντα μοι παρέδωκας, ἴδε
ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ᾽ αὐτοῖς.
ἔφη δὲ αὐτῷ ὁ κύριος αὐτοῦ. εὖ δοῦλε
ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ
πολλῶν σε καταστήσω, εἴσελθε εἰς τὴν χα-
ρὰν τοῦ κυρίου σου. προσελθὼν δὲ καὶ ὁ
τὰ δύο τάλαντα λαβὼν εἶπε. κύριε, δύο τά-
λαντα μοι παρέδωκας, ἴδε ἄλλα δύο τά-
λαντα ἐκέρδησα ἐπ᾽ αὐτοῖς. ἔφη αὐτῷ ὁ κύ-
ριος αὐτοῦ. εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ
ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστή-
σω. εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.
προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰλη-
φὼς, εἶπεν. κύριε, ἔγνων σε ὅτι σκληρὸς εἶ
ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας,
καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας. καὶ φο-
βηθεὶς ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου
ἐν τῇ γῇ. ἴδε ἔχεις τὸ σόν. ἀποκριθεὶς δὲ ὁ
κύριος αὐτοῦ, εἶπεν αὐτῷ. πονηρὲ δοῦλε
καὶ ὀκνηρέ. ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσ-
πειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα. ἔ-
δει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς
τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν
τὸ ἐμὸν σὺν τόκῳ. ἄρατε οὖν ἀπ᾽ αὐτοῦ
τὸ τάλαντον, καὶ δότε τῷ ἔχοντι τὰ δέκα
τάλαντα. τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται
καὶ περισσευθήσεται. ἀπὸ δὲ τοῦ μὴ ἔχον-
τος, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ᾽ αὐτοῦ.
καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ
σκότος τὸ ἐξώτερον. ἐκεῖ ἔσται ὁ κλαυθμὸς
καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. ὅταν δὲ ἔλ-
θῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ,
καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ᾽ αὐτοῦ, τό-
τε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συνα-
χθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθ-
νη. καὶ ἀφοριεῖ αὐτοὺς ἀπ᾽ ἀλλήλων, ὥσπερ
ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐ-
ρίφων. καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξι-
ῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. τό-
τε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ. δεῦ-
τε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρο-
νομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν

priam virtutem: et profectus eſt ſtatim. Abiit
autem qui quinque talenta acceperat: et operatus eſt
in eis et lucratus eſt alia quinque.
Similiter qui duo acceperat lucratus eſt
alia duo. Qui autem unum acceperat abiens
fodit in terram: et abſcondit pecuniam
domini ſui. Poſt multum vero temporis Luce.16.a.
venit dominus ſervorum illorum: p. Tim. 5
et poſuit rationem cum eis. Et
accedens qui quinque talenta acceperat
obtulit alia quinque talenta dicens.
Domine quinque talenta tradidiſti mihi: ecce
alia quinque ſuperlucratus ſum.
Ait illi dominus eius. Euge ſerve Luce.19.c.
bone et fidelis: quia ſuper pauca fuiſti fidelis
multa te conſtituam: intra in gaudium ſuper
domini tui. Acceſſit autem et talenta
qui duo talenta acceperat et ait. Domine duo
tradidiſti mihi: ecce alia duo
lucratus ſum. Ait illi dominus
eius. Euge ſerve bone et fidelis: quia ſuper
pauca fuiſti fidelis: ſuper multa te conſti-
tuam: intra in gaudium domini tui.
Accedens autem et qui unum talentum acceperat
ait. Domine ſcio quia homo durus es: C
metis ubi non ſeminaſti:
et congregas ubi non ſparſiſti: et timens
abii et abſcondi talentum tuum
in terra. Ecce habes quod tuum eſt. Reſpondens autem
dominus eius dixit ei. Serve male
et piger: ſciebas quia meto ubi non ſemino:
et congrego ubi non ſparſi. Oportuit
ergo te committere pecuniam meam
nummulariis: et veniens ego recepiſſem utique
quod meum eſt cum uſura. Tollite itaque ab
eo talentum: et date ei qui habet decem
talenta. Omni enim habenti dabitur: ſup.13.b.
et abundabit: ei autem qui non habet: Luce.8.c. z.19.d.
et quod videtur habere auferetur ab eo. Marc.4.c.
Et inutilem ſervum eiicite in
tenebras exteriores: illic erit fletus Luce.13.f.
et ſtridor dentium. Cum autem venerit
filius hominis in maieſtate ſua
et omnes angeli cum eo: tunc
ſedebit ſuper ſedem maieſtatis ſue: et congrega-
buntur ante eum omnes gentes:
et ſeparabit eos ab invicem: ſicut
paſtor ſegregat oves ab hedis.
Et ſtatuet oves quidem a dextris:
hedos autem a ſiniſtris. Tunc
dicet rex his qui a dextris eius erunt. Ve- Apo.19.d.
nite benedicti patris mei: poſſidete Eph.c.1.a.
paratum vobis regnum

Digitized by Google

ἀπὸ καταβολῆς κόσμου. ἐπείνασα γὰρ καὶ
ἐδώκατέ μοι φαγεῖν. ἐδίψησα καὶ ἐποτίσα
τέ με. ξένος ἤμην καὶ συνηγάγετέ με. γυμ
νὸς καὶ περιεβάλετέ με. ἠσθένησα καὶ ἐπεσκέ
ψασθέ με. ἐν φυλακῇ ἤμην καὶ ἤλθετε πρός
με. Τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι
λέγοντες. κύριε, πότε σὲ εἴδομεν πεινῶντα
καὶ ἐθρέψαμεν, ἢ διψῶντα καὶ ἐποτίσαμεν
πότε δέ σε εἴδομεν ξένον καὶ συνηγάγο=
μεν, ἢ γυμνὸν καὶ περιεβάλομεν. πότε
δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν φυλακῇ καὶ
ἤλθομεν πρός σε, καὶ ἀποκριθεὶς ὁ βα=
σιλεὺς ἐρεῖ αὐτοῖς. ἀμὴν λέγω ὑμῖν,
ἐφόσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελ=
φῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.
Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων. πορεύεσθε
ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώ=
νιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς
ἀγγέλοις αὐτοῦ. ἐπείνασα γὰρ καὶ οὐκ ἐ=
δώκατέ μοι φαγεῖν. ἐδίψησα καὶ οὐκ ἐποτί=
σατέ με. ξένος ἤμην καὶ οὐ συνηγάγετέ με.
γυμνὸς καὶ οὐ περιεβάλετέ με. ἀσθενὴς καὶ
ἐν φυλακῇ καὶ οὐκ ἐπεσκέψασθέ με. Τότε ἀ
ποκριθήσονται καὶ αὐτοὶ λέγοντες. κύριε πό
τε σε εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξέ=
νον, ἢ γυμνόν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ
οὐ διηκονήσαμέν σοι. Τότε ἀποκριθήσεται
αὐτοῖς λέγων. ἀμὴν λέγω ὑμῖν, ἐφόσον
οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων,
οὐδὲ ἐμοὶ ἐποιήσατε. καὶ ἀπελεύσονται οὗ=
τοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζω
ὴν αἰώνιον. Cap.26.

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάν=
τας τοὺς λόγους τούτους, εἶπε τοῖς μα
θηταῖς αὐτοῦ. οἴδατε ὅτι μετὰ δύο ἡμέρας
τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώ=
που παραδίδοται εἰς τὸ σταυρωθῆναι. Τό
τε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμμα=
τεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν
αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου καϊά
φα, καὶ συνεβουλεύσαντο ἵνα τὸν Ἰησοῦν
δόλῳ κρατήσωσι καὶ ἀποκτείνωσιν. ἔλεγον
δέ. μὴ ἐν τῇ ἑορτῇ ἵνα μὴ θόρυβος γένηται
ἐν τῷ λαῷ. τοῦ δὲ Ἰησοῦ γενομένου ἐν βη
θανίᾳ ἐν οἰκίᾳ σίμωνος τοῦ λεπροῦ, προσῆλ
θεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχου=
σα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν κεφα=
λὴν αὐτοῦ ἀνακειμένου. ἰδόντες δὲ οἱ μαθη
ταὶ αὐτοῦ, ἠγανάκτησαν λέγοντες. εἰς τί ἡ
ἀπώλεια αὕτη. ἠδύνατο γὰρ τοῦτο τὸ μύ
ρον πραθῆναι πολλοῦ καὶ δοθῆναι τοῖς πτω
χοῖς. γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς. τί κό=
πους παρέχετε τῇ γυναικί. ἔργον γὰρ κα=

a cõſtitutiõe mũdi. Eſuriui enĩ et ⌈ſtis
dediſti mihi mãducare. Sitiui ⁊ dedi
mihi bibẽ. Hoſpes erã ⁊ collegiſtis me.
Nud⁹ ⁊ operuiſtis me. Infirm⁹ ⁊ viſita D
ſtis me. In carcere eram et veniſtis ad
me. Tunc reſpondebunt ei iuſti ꝏꝏ
dicẽtes. Dñe. Qñ te vidim⁹ eſuriẽtem
et pauim⁹: ſitientẽ et dedim⁹ tibi potũ:
Qñ aũt te vidim⁹ hoſpitẽ ⁊ collegimus
te: aut nudũ ⁊ cooperuimus te: Aut qñ
te vidim⁹ ĩfirmum aut in carcere et ꝏ
venimus ad te: Et reſpondens rex ꝏ
dicet illis. Amen dico vobis: ꝏꝏꝏ
q̃diu feciſtis vni de his fratribus ꝏꝏ
meis minimis mihi feciſtis. ꝏ ⌈dite
Tũc dicet ⁊ his q̃ a ſiniſtris erũt. Diſce ſup.7.c. Luce.13.f.
a me maledicti in ignem eternum ꝏ
qui paratus eſt diabolo et ꝏꝏꝏ
angelis eius. Eſuriui enĩ: ⁊ nõ dediſtis
mihi manducare. Sitiui ⁊ non dediſtis
mihi potũ. Hoſpes erã: ⁊ nõ collegiſtis
nud⁹ ⁊ nõ opuiſtis me. Infirm⁹ ⁊ ⌊in me
i carcẽ ⁊ nõ viſitaſtis me. Tũc rñdebũt
ei et ipſi dicentes. Domine quando ꝏ
te vidim⁹ eſurientẽ: aut ſitiẽtẽ: aut ho
ſpitẽ: aut nudũ: aut ĩfirmũ: aut in carcẽ
⁊ nõ miniſtrauimus tibi: Tũc rñdebit
illis dicens. Amẽ dico vobis: q̃diu
non feciſtis vni de minoribus his: ꝏ
nec mihi feciſtis. Et ibunt hi ꝏꝏ Iohis.5.c.
in ſupplicium eternũ: iuſti autẽ in vitã
eternam. Cap.26.

Et factum eſt cum cõſũmaſſet ieſus A
ſermones hos oẽs dixit diſcipu=
ſuis. Scitis quia poſt biduum ꝏ ⌊lis Mar.14.a. Luce.22.a. Iohan.12.a
paſcha fiet: et filius hominis ꝏ
tradetur vt crucifigatur. Tunc ꝏ
congregati ſunt principes ſacerdotum:
et ſeniores populi in ꝏꝏꝏ
atriũ pncipis ſacerdotũ q̃ dicebat cay
phas: et conſilium fecerunt vt ieſum ꝏ
dolo tenerent ⁊ occiderent. Dicebant
aũt. Nõ i die feſto. Ne forte tumlt⁹ fie
ret i pplo. Cũ aũt ieſus eſſet in betha
nia in domo ſymonis leproſi: acceſſit ad
eũ mulier habens alabaſtrum vnguenti
precioſi: et effudit ſuper caput ꝏꝏ
ipſius recũbentis. Videtes aũt diſcipu
li: indignati ſunt dicentes. Ut quid ꝏ
perditio hec: Potuit enim iſtud ꝏꝏ
venundari multo: et dari pauperibus.
Sciẽs aũt ieſus ait illis. Quid moleſti
eſtis huic mulieri: Opus enim bonum B

Digitized by Google

λόν ειργάσατο εις εμέ. πάντοτε γαρ τους
πτωχούς έχετε μεθ εαυτών, εμέ δε ου
πάντοτε έχετε. βαλούσα γαρ αύτη το μύ=
ρον τούτο επί του σώματος μου, προς το
ενταφιάσαι με εποίησεν. αμήν λέγω υμίν,
όπου εάν κηρυχθή το ευαγγέλιον τούτο
εν όλω τω κόσμω, λαληθήσεται και ο εποί
ησεν αύτη εις μνημόσυνον αυτής. Τότε πο=
ρευθείς εις των δώδεκα ο λεγόμενος ιούδας
ισκαριώτης προς τους αρχιερείς, είπε. Τι θέ
λετε μοι δούναι και εγώ υμίν παραδώσω
αυτόν. οι δε έστησαν αυτώ τριάκοντα αρ=
γύρια. και από τότε εζήτει ευκαιρίαν, ίνα
αυτόν παραδώ. τη δε πρώτη των αζύμων
προσήλθον οι μαθηταί τω ιησού λέγοντες
αυτώ. που θέλεις ετοιμάσωμεν σοι φα=
γείν το πάσχα. ο δε είπεν. υπάγετε εις την
πόλιν προς τον δείνα, και είπατε αυτώ. ο
διδάσκαλος λέγει, ο καιρός μου εγγύς εσ
τί, πρός σε ποιώ το πάσχα μετά των μα=
θητών μου. και εποίησαν οι μαθηταί ως συνέ
ταξεν αυτοίς ο ιησούς, και ητοίμασαν το πάσ
χα. οψίας δε γενομένης, ανέκειτο μετά των
δώδεκα. και εσθιόντων αυτών είπεν. αμήν
λέγω υμίν ότι εις εξ υμών παραδώσει με.
και λυπούμενοι σφόδρα, ήρξαντο λέγειν
αυτώ έκαστος αυτών. μήτι εγώ ειμί κύριε
ο δε αποκριθείς είπεν. ο εμβάψας μετ εμού
εν τω τρυβλίω την χείρα, ούτος με παρα=
δώσει. ο μεν υιός του ανθρώπου υπάγει κα
θώς γέγραπται περί αυτού. ουαί δε τω αν
θρώπω εκείνω δι ου ο υιός του ανθρώ=
που παραδίδοται. καλόν ην αυτώ ει ουκ ε
γεννήθη ο άνθρωπος εκείνος. αποκριθείς δε
ιούδας ο παραδιδούς αυτόν, είπε. μήτι ε=
γώ ειμί ραββί. λέγει αυτώ. συ είπας. εσθι=
όντων δε αυτών, λαβών ο ιησούς τον άρ=
τον και ευλογήσας, έκλασε και εδίδου τοις
μαθηταίς και είπε. λάβετε φάγετε. τούτο
εστί το σώμα μου. και λαβών το ποτήρι=
ον και ευχαριστήσας, έδωκεν αυτοίς λέγων
πίετε εξ αυτού πάντες, τούτο γαρ εστί το
αίμα μου το της καινής διαθήκης το περί
πολλών εκχυνόμενον εις άφεσιν αμαρτι=
ών. λέγω δε υμίν, ότι ου μή πίω απάρτι εκ
τούτου του γεννήματος της αμπέλου, έως
της ημέρασ εκείνης όταν αυτό πίνω μεθ
υμών καινόν εν τη βασιλεία του πατρόσ
μου. και υμνήσαντες, εξήλθον εις το όρος
των ελαιών. Τότε λέγει αυτοίς ο ιησούσ.
πάντες υμείς σκανδαλισθήσεσθε εν εμοί εν
τη νυκτί ταύτη. γέγραπται γαρ. πατάξω
τον ποιμένα και διασκορπισθήσεται τα πρό=

operata eſt in me. Nam ſemper
paupes habetis vobiſcū: me autē non
ſemp habebitis. Mittēs enī hec vnguē Marc.14.a Luce.7.f. Johā.12.a.
tum hoc in corpus meum ad
ſepeliendū me fecit. Amē dico vobis:
vbicūq; predicatū fuerit hoc euāgeliū
in toto mundo: dicetur et qd fecit
hec in memoriam eius. Tunc abijt Mar.14.b Luce.22.a.
vnus de duodecim qui dicebatur iudas
ſcarioth ad pncipes ſacerdotū: et ait illis.
mihi dare: et ego vobis [Quid vultis
eū tradā? At illi ꝯſtituerūt ei triginta ar
gēteos. Et exinde qrebat opoꝛtunitatē vt
eum traderet. Prima aūt die azymorū
acceſſerunt diſcipuli ad ieſum dicentes.
Ubi vis paremus tibi comedere
paſcha? At ieſus dixit. Ite in
ciuitatem ad quēdam: et dicite ei.
Magiſter dicit: tēpus meum ppe eſt:
apud te facio paſcha cū diſcipulis
meis. Et fecerūt diſcipuli ſicut ꝯſtituit
illis ieſus et parauerunt paſcha.
Veſpere autem facto: diſcumbebat cum Mar.14.b. Joa.13.c.
duodeci diſcipulis ſuis. Et edētib9 illis
dixit. Amē dico vobis: qz vn9 vſtrū me
Et cōtriſtati valde ceperūt [traditur9 ē. Mar.14.b Luce.22.c.
ſinguli dicere. Nūquid ego ſum dñe? Joa.13.c.
At ipſe rñdens ait. Qui intingit mecū
manū in parapſide hic me tradet.
filius quidem hominis vadit ſicut
ſcriptum eſt de illo. Ve autē homini ſup.18.b.
illi per quem filius hominis Mar.14.c Luce.22.c.
tradet. Bonū erat ei: ſi nat9 nō fuiſſet C
homo ille. Reſpondens autem
iudas q tradidit eū dixit. Nūquid ego
ſū rabbi? Ait illi Tu dixiſti. Cenātib9 Mar.14.c Luce.22.b.
autem eis accepit ieſus panem Johan.6.f.
et bñdixit ac fregit: dedit qz [dite: hoc
diſcipulis ſuis: et ait. Accipite et come
eſt corpus meum. Et accipiens calicē Mar.14.c.
gratias egit: et dedit illis dicens Luce.22.b. 1.Coꝛ.11.c.
Bibite ex hoc omnes. Hic eſt enim Heb.9.c.
ſanguis meus noui teſtamenti qui pro
multis effundet in remiſſionē peccatorū
Dico aūt vobis non bibam amodo de Mar.14.c.
hoc genimine vitis vſq; in
diem illum cum illud bibam vobiſcū
nouū in regno patris
mei. Et hymno dicto exierunt in mōtē Mar.14.c.
oliueti. Tunc dicit illis ieſus. Johan.18.a
Oms vos ſcādalū patiemini in me in
iſta nocte. Scriptum eſt enī: percutiā Mar.14.c.
paſtorē et diſpergentur oues Zacha.13.

Digitized by Google

βατα της ποίμνης. μετά δε το εγερθήναι με, προάξω υμάς εις την γαλιλαίαν. αποκριθείς δε ο πέτρος είπεν αυτώ. ει καί πάντες σκανδαλισθήσονται εν σοι, εγώ ουδέποτε σκανδαλισθήσομαι. έφη αυτώ ο ιησούς. αμήν λέγω σοι, ότι εν ταύτη τη νυκτί πρίν αλέκτορα φωνήσαι, τρίς απαρνήση με. λέγει αυτώ ο πέτρος. καν δέη με συν σοι αποθανείν, ου μή σε απαρνήσωμαι. ομοίως δε και πάντες οι μαθηταί είπον. Τότε έρχεται μετ αυτών ο ιησούς εις χωρίον λεγόμενον γεθσημανή, και λέγει τοις μαθηταίς. καθίσατε αυτού έως ου απελθών προσεύξωμαι εκεί. και παραλαβών τον πέτρον και τους δύο υιούς ζεβεδαίου ήρξατο λυπείσθαι και αδημονείν. Τότε λέγει αυτοίς. περίλυπος εστίν η ψυχή μου έως θανάτου, μείνατε ώδε και γρηγορείτε μετ εμού. και προελθών μικρόν, έπεσεν επί πρόσωπον αυτού προσευχόμενος και λέγων. πάτερ μου, ει δυνατόν εστί παρελθέτω απ εμού το ποτήριον τούτο. πλην ουκ ως εγώ θέλω, αλλ ως συ. και έρχεται προς τους μαθητάς, και ευρίσκει αυτούς καθεύδοντας και λέγει τω πέτρω. ούτως, ουκ ισχύσατε μίαν ώραν γρηγορήσαι μετ εμού. γρηγορείτε και προσεύχεσθε, ίνα μη εισέλθητε εις πειρασμόν. το μεν πνεύμα πρόθυμον, η δε σαρξ ασθενής. πάλιν εκ δευτέρου απελθών, προσηύξατο λέγων. πάτερ μου ει ου δύναται τούτο το ποτήριον παρελθείν απ εμού εάν μη αυτό πίω, γενηθήτω το θέλημά σου. και ελθών, ευρίσκει αυτούς πάλιν καθεύδοντας, ήσαν γαρ αυτών οι οφθαλμοί βεβαρημένοι, και αφείς αυτούς, απελθών πάλιν προσηύξατο εκ τρίτου τον αυτόν λόγον ειπών. Τότε έρχεται προς τους μαθητάς αυτού και λέγει αυτοίς. καθεύδετε το λοιπόν και αναπαύεσθε. ιδού ήγγικεν η ώρα, και ο υιός του ανθρώπου παραδίδοται εις χείρας αμαρτωλών. εγείρεσθε άγωμεν. ιδού ήγγικεν ο παραδιδούς με. και έτι αυτού λαλούντος, ιδού ιούδας εις των δώδεκα ήλθε, και μετ αυτού όχλος πολύς μετά μαχαιρών και ξύλων, από των αρχιερέων και πρεσβυτέρων του λαού. ο δε παραδούς αυτόν, έδωκεν αυτοίς σημείον λέγων. ον αν φιλήσω αυτός εστίν, κρατήσατε αυτόν. και ευθέως προσελθών τω ιησού είπε, χαίρε ραββί. και κατεφίλησεν αυτόν. ο δε ιησούς είπεν αυτώ. εταίρε, εφ ω πάρει. Τότε προσελθόντες,

gregis. Poſtq̃ autem reſurrexero: precedam vos in galileā. Reſpondens autem petrus ait illi. Etſi omnes ſcandalizati fuerint in te: ego nunq̃ ſcandalizabor. Ait illi ieſus. Amē dico tibi: q̃ in hac nocte anteq̃ gallus cantet: ter me negabis. Ait illi petrus. Etiam ſi oportuerit me mori tecum: non te negabo. Similiter et omnes diſcipuli dixerūt. Tunc venit ieſus cum illis in villam que dicitur getbſemani. Et dixit diſcipulis ſuis. Sedete hic donec vadam illuc et orem. Et aſſumpto petro et duobus filijs zebedei: cepit contriſtari et meſtus eſſe. Tūc ait illis. Triſtis eſt anima mea vſq̃ ad mortē: ſuſtinete hic et vigilate mecum. Et progreſſus puſillū: procidit in faciē ſuam orans et dicens. Pater mi: ſi poſſibile eſt tranſeat a me calix iſte. Verūtamen non ſicut ego volo: ſed ſicut tu. Et venit ad diſcipulos ſuos ⁊ inuenit eos dormiētes: et dicit petro. Sic non potuiſtis vna hora vigilare mecum? Vigilate ⁊ orate vt non intretis in tentationem. Spūs quidē prōpt⁹ eſt caro aūt infirma. Iterum ſecundo abijt et orauit dicens. Pater mi: ſi non poteſt hic calix tranſire niſi bibam illum: fiat voluntas tua. Et venit iterū ⁊ inuenit eos dormiētes: erant enī oculi eorū grauati. Et relictis illis iterum abijt ⁊ orauit tertio eundem ſermonem dicens. Tunc venit ad diſcipulos ſuos: et dicit illis. Dormite iam et requieſcite. Ecce appropinquauit hora ⁊ filius hominis tradetur in man⁹ peccatorū. Surgite eamus. Ecce appropinquauit qui me tradet. Adhuc eo loquente: ecce iudas vnus de duodecim venit: et cum eo turba multa cum gladijs ⁊ fuſtibus miſſi a prīcipib⁹ ſacerdotū ⁊ ſenioribus populi. Qui autem tradidit eum: dedit illis ſignum dicens. Quēcūq̃ oſculat⁹ fuero ipſe eſt tenete eum. Et confeſtim accedens ad ieſum dixit. Aue rabbi. Et oſculat⁹ eſt eum. Dixitq̃ illi ieſus. Amice ad quid veniſti? Tunc acceſſerunt et

Iohā.16.g.
Mar.14.c
Luce.22.d.
mar.14.d.
Rom.8.d
D
Mar.14.d
Luce.22.d
Iohis.18.a
Mar.14.d
mar.14.d
Iohā.12.d.
mar.14.d
Luce.22.d.
marc.14.d
Luce.22.c.
Mar.14.d
Luce.22.c.
Mar.14.d
Iohā.6.g.
Mar.14.d
ſup.6.c.
Mar.14.e
E
Mar.14.e
Luce.22.e
Iohā.18.a.
mar.14.e

E

Digitized by Google

ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν ἰησοῦν καὶ ἐκρά
τησαν αὐτόν. καὶ ἰδοὺ εἷς τῶν μετὰ ἰησοῦ ἐκ
τείνας τὴν χεῖρα, ἀπέσπασε τὴν μάχαιραν
αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρ=
χιερέως, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. τότε λέ=
γει αὐτῷ ὁ ἰησοῦς. ἀπόστρεψον σου τὴν μά
χαιραν εἰς τὸν τόπον αὐτῆς. πάντες γὰρ οἱ
λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανοῦν
ται. ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρα=
καλέσαι τὸν πατέρα μου, καὶ παραστήσει
μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέ=
λων. πῶς οὖν πληρωθῶσιν αἱ γραφαί, ὅτι
οὕτως δεῖ γενέσθαι. ἐν ἐκείνῃ τῇ ὥρᾳ, εἶπεν
ὁ ἰησοῦς τοῖς ὄχλοις. ὡς ἐπὶ λῃστὴν ἐξήλ=
θετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν
με. καθημέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδά
σκων ἐν τῷ ἱερῷ, καὶ οὐκ ἐκρατήσατέ με.
τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῶσιν
αἱ γραφαὶ τῶν προφητῶν. τότε οἱ μαθηταὶ
πάντες ἀφέντες αὐτὸν ἔφυγον. οἱ δὲ κρα=
τήσαντες τὸν ἰησοῦν, ἀπήγαγον πρὸς καϊά
φαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμματεῖς καὶ
οἱ πρεσβύτεροι συνήχθησαν. ὁ δὲ πέτρος ἠ
κολούθει αὐτῷ ἀπὸ μακρόθεν, ἕως τῆς αὐ=
λῆς τοῦ ἀρχιερέως. καὶ εἰσελθὼν ἔσω, ἐκάθη
το μετὰ τῶν ὑπηρετῶν ἰδεῖν τὸ τέλος. οἱ δὲ
ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ τὸ συνέ=
δριον ὅλον, ἐζήτουν ψευδομαρτυρίαν κατὰ
τοῦ ἰησοῦ, ὅπως θανατώσωσιν αὐτόν, καὶ
οὐχ εὗρον. καὶ πολλῶν ψευδομαρτύρων
προσελθόντων, οὐχ εὗρον. ὕστερον δὲ
προσελθόντες δύο ψευδομάρτυρες εἶπον.
οὗτος ἔφη. δύναμαι καταλῦσαι τὸν ναὸν
τοῦ θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆ
σαι αὐτόν. καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν
αὐτῷ. οὐδὲν ἀποκρίνῃ τί οὗτοί σου κατα=
μαρτυροῦσιν. ὁ δὲ ἰησοῦς ἐσιώπα. καὶ ἀπο=
κριθεὶς ὁ ἀρχιερεύς, εἶπεν αὐτῷ. ἐξορκίζω σε
κατὰ τοῦ θεοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ
εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. λέγει αὐτῷ ὁ
ἰησοῦς. σὺ εἶπας. πλὴν λέγω ὑμῖν, ἀπάρτι
ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον
ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ
τῶν νεφελῶν τοῦ οὐρανοῦ. τότε ὁ ἀρχιε=
ρεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ λέγων. ὅτι
ἐβλασφήμησε, τί ἔτι χρείαν ἔχομεν μαρτύ
ρων. ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν αὐ
τοῦ. τί ὑμῖν δοκεῖ. οἱ δὲ ἀποκριθέντες, εἶ=
πον. ἔνοχος θανάτου ἐστί. τότε ἐνέπτυσαν
εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφισαν
αὐτόν. οἱ δὲ ἐρράπισαν λέγοντες. προφή=
τευσον ἡμῖν χριστὲ τίς ἐστιν ὁ παίσας σε.
ὁ δὲ πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ.

man⁹ iniecerunt in ieſum: et tenuerunt
eū. Et ecce vn⁹ ex his q̄ erāt cū ieſu: ex mat.14.c Luce.22.c.
manum exemit gladium ⌊tēdēs Johā.18.b.
ſuum: et percutiens ſeruum principis
ſacerdotū āputauit auriculā ei⁹. Tūc
illi ieſus. Conuerte gladium tuū ⌊ait
in locum ſuum. Omnes enim Geñ.9.a.
qui acceperint gladium: gladio ꝑibūt. Apoc.13.c.
An putas quia non poſſum rogare
patrem meum: et exhibebit
mihi mō plus q̄ duodecī legiones āge
loꝝ. Quō ergo iplebūtur ſcripture: Qꝛ
ſic oportet fieri. In illa hora dixit
ieſus turbis. Tanq̄ ad latronem exiſtis Mar.14.e
cum gladijs ⁊ fuſtibus comprehendere Luce.22.c
me. Quotidie apud vos ſedebā docēs F
in templo ⁊ non me tenuiſtis.
Hoc autem totū factū eſt: vt adiplerēt
ſcripture ꝓphetaꝝ. Tūc diſcipuli Mar.14.e
oēs relicto eo fugerūt. At illi tenentes Mar.14.f Luce.22.f.
ieſum: duxerunt ad cayphan Johā.18.c.
principem ſacerdotū: vbi ſcribe ⁊
ſeniores cōuenerāt. Petr⁹ aūt ſequeba Marc.14.f
tur eum a longe: vſq; in atrium Luce.22.f.
pricipis ſacerdotū. Et ingreſſus itro ſe Johā.18.c.
debat cū miniſtris: vt videret finem.
Principes autem ſacerdotum et Marc.14.f
oē cōciliū: q̄rebāt falſū teſtimoniū cōtra Luce.22.g
ieſum: vt eum morti traderent: et
non inuenerunt cum multi falſi teſtes
acceſſiſſent. Nouiſſime autem mar.14.f.
venerunt duo falſi teſtes: et dixerunt.
Hic dixit. Poſſum deſtruere templum
dei et poſt triduum reedificare
illud. Et ſurgēs pꝛīceps ſacerdotū ait
illi. Nihil rñdes ad ea q̄ iſti aduerſū te
Jeſus autē tacebat. Et ⌊teſtificant?
pꝛīceps ſacerdotū ait illi. Adiuro te Mar.14.f.
per deum viuū: vt dicas nobis ſi tu Luce.22.g.
es chriſtus filius dei. Dicit illi ⌈modo
ieſ⁹. Tu dixiſti. Veruntū dico vobis: a marc.14.g
videbitis filium hominis ſedentem Luce.22.g.
a dextris virtutis dei: et venientem in Johā.6.g.
nubibus celi. Tūc princeps ſacerdotū G
ſcidit veſtimenta ſua dicēs. ⌈ſtibus? mar.14.g
Blaſphemauit. Quid adhuc egem⁹ te
Ecce nunc audiſtis blaſphemiam.
Quid vobis videt? At illi rñdētes dixe
rūt. Reus eſt mortis. Tūc expuerunt mar.14.g
in faciē ei⁹ ⁊ colaphis eū ceciderūt. ⌈tes. Luce.22.g.
Alij aūt palmas in faciē ei⁹ dederūt dicē Johis.18.d
Prophetiza nobis xpē: q̄s ē q̄ te pcuſ Eſaie.50.b
ſit? Petr⁹ vero ſedebat foris in atrio: Mar.14.g

Digitized by Google

και προσήλθεν αυτώ μία παιδίσκη λέγου-
σα. και συ ήσθα μετά ιησού/του γαλιλαίου
ο δε ηρνήσατο έμπροσθεν απάντων λέγων
ουκ οίδα τι λέγεις. εξελθόντα δε αυτόν εις
/τον πυλώνα, είδεν αυτόν άλλη και λέγει
αυτοίς εκεί. και ούτος ην μετά ιησού/του
ναζωραίου. και πάλιν ηρνήσατο μεθ όρκου
ότι ουκ οίδα/τον άνθρωπον. μετά μικρόν
δε προσελθόντες/οι εστώτες είπον/τω πέ-
τρω. αληθώς και συ εξ αυτών ει. και γαρ
/η λαλία σου δήλον σε ποιεί. τότε ήρξα-
το καταθεματίζειν και ομνύειν ότι ουκ οίδα
/τον άνθρωπον. και ευθέως αλέκτωρ εφώνη-
σε. και εμνήσθη/ο πέτρος/του ρήματος ιη-
σού ειρηκότος αυτώ, ότι πριν αλέκτορα
φωνήσαι, τρις απαρνήση με. και εξελθών έ-
ξω έκλαυσε πικρώς. Cap. 27.

Πρωΐας δε γενομένης, συμβούλιον έλα-
βον πάντες/οι αρχιερείς και/οι πρεσβύ-
τεροι/του λαού κατά/του ιησού όπως αυ-
τόν θανατώσωσιν. και δήσαντες αυτόν, α-
πήγαγον και παρέδωκαν αυτόν ποντίω πι-
λάτω/τω ηγεμόνι. τότε ιδών ιούδας/ο πα-
ραδιδούς αυτόν ότι κατεκρίθη, μεταμεληθείς
απέστρεψε/τα τριάκοντα αργύρια/τοις αρ-
χιερεύσι και/τοις πρεσβυτέροις λέγων. ή-
μαρτον παραδούς αίμα αθώον. οι δε είπον
τι προς ημάς, συ όψει. και ρίψας/τα αργύ-
ρια εν/τω ναώ, ανεχώρησε. και απελθών α-
πήγξατο./οι δε αρχιερείς λαβόντες/τα αρ-
γύρια είπον. ουκ έξεστι βαλείν αυτά εις/τον
κορβανάν, επεί τιμή αίματος εστί. συμβού-
λιον δε λαβόντες, ηγόρασαν εξ αυτών/τον
αγρόν/του κεραμέως εις ταφήν/τοις ξένοις
διό εκλήθη/ο αγρός εκείνος αγρός αίματος
έως/της σήμερον. τότε επληρώθη/το ρηθέν
διά ιερεμίου/του προφήτου λέγοντος. και
έλαβον/τα τριάκοντα αργύρια/την τιμήν
/του τετιμημένου ον επιμήσαντο από υιών
ισραήλ, και έδωκαν αυτά εις/τον αγρόν/του
κεραμέως καθά συνέταξε μοι κύριος./ο δε ιη-
σούς έστη έμπροσθεν/του ηγεμόνος. και επη-
ρώτησεν αυτόν/ο ηγεμών λέγων. συ ει/ο βα-
σιλεύς/των ιουδαίων./ο δε ιησούς έφη αυ-
τώ. συ λέγεις. και εν/τω κατηγορείσθαι αυ-
τόν υπό/των αρχιερέων και/των πρεσβυτέ-
ρων ουδέν απεκρίνατο. τότε λέγει αυτώ/ο
πιλάτος. ουκ ακούεις πόσα σου καταμαρτυ-
ρούσιν. και ουκ απεκρίθη αυτώ πρός ουδέ εν
ρήμα. ώστε θαυμάζειν/τον ηγεμόνα λίαν.
κατά δε εορτήν ειώθει/ο ηγεμών απολύ-
ειν/τω όχλω ένα δέσμιον ον ήθελον. είχον
δε τότε δέσμιον επίσημον λεγόμενον βαραβ

et acceſſit ad eum vna ancilla dicens. — Luce. 22. f. Iohã. 18. c.
Et tu cum ieſu galileo eras?
At ille negauit corã omnibus dicẽs.
Neſcio quid dicis. Exeunte aũt illo
ianuã: vidit eum alia ancilla et ait
his qui erant ibi. Et hic erat cũ ieſu
nazarẽo. Et iterũ negauit cũ iuramẽto:
quia non noui hominẽ. Et poſt puſillũ
acceſſerunt qui ſtabant: ⁊ dixerũt petro.
Vere et tu ex illis es: nam et
loquela tua te manifeſtũ facit. Tũc ce
pit deteſtari ⁊ iurare: quia non nouiſſet
hominẽ. Et continuo gallus cantauit.
Et recordatus eſt petrus verbi ieſu — mar. 14. g
quod dixerat: priuſq̃ gallus — Luce. 22. g.
cantet: ter me negabis. Et egreſſus fo
ras fleuit amare. Cap. 27.

A

Mane autẽ facto: cõſilium inierunt — Mar. 15. a.
oĩs principes ſacerdotũ ⁊ ſeniores — Lu. c. 23. a
populi aduerſus ieſum vt eum
morti traderẽt. Et vinctũ adduxerũt eũ: — Marc. 15. a
et tradiderunt pontio pilato — Luce. 23. a. Iohã. 18. c.
preſidi. Tunc videns iudas qui
eũ tradidit ꝙ dãnatus eſſet: pnia ductꝰ
retulit trigita argẽteos pricipibus ſacer
dotũ et ſenioribus dicens. Peccaui — Act. 4. d.
tradens ſanguinẽ iuſtum. At illi dixerũt
Quid ad nos? Tu videris. Et proiectis
i tẽplo receſſit: ⁊ abiẽs laq̃o ſe ſuſpendit. argẽteis
Pricipes aũt ſacerdotũ acce
ptis argẽteis dixerũt. Nõ licet eos mit
tere in corbonã: q2 preciũ ſanguinis eſt.
Conſilio aũt inito emerũt ex illis
agrũ figuli i ſepulturã pegrinoꝝ. hoc — Act. 1. c.
pp hoc vocatꝰ ẽ ager ille acheldemach:
ẽ ager ſãguinis vſq̃ i hodiernũ diẽ. Tũc
ipletũ ẽ qd dictũ eſt p hieremiã pphetã

B

dicẽtem. Et acceperũt trigita argẽteos: — Hiere. 32. b
preciũ appreciati quẽ appreciauerũt a — Zacha. 11. c
filijs iſrael: ⁊ dederunt eos in agrum — Mar. 15. a
figuli: ſicut cõſtituit mihi dñs. Ieſꝰ ãt — Luce. 23. a.
ſtetit ante preſidem et interrogauit — Iohã. 18. f. Mar. 15. a
eum preſes dicens. Tu es rex — Iohã. 19. b.
iudeorum? Dicit illi ieſus.
Tu dicis. Et cum accuſaretur
a pricipibus ſacerdotum ⁊ ſenioribus
nihil rñdit. Tũc dicit illi pilatꝰ. Nõ audis q̃nta aduerſũ te dicũt teſtimonia?
Et non rñdit ei ad vllum verbum
ita vt miraretur preſes vehementer.
Per diem ãt ſolennẽ cõſueuerat preſes — Mar. 15. a.
pplo dimittẽ vnũ vinctũ quẽ voluiſſent. — Luce. 23. c Mar. 15. b
Habebãt ãt tũc vinctũ iſignẽ q̃ dicebat bar — Iohã. 18. g.

βάν. συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς
ὁ πιλάτος. τίνα θέλετε ἀπολύσω ὑμῖν, βα
ραβᾶν, ἢ ἰησοῦν τὸν λεγόμενον χριστόν. ἤ=
δει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν.
καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος ἀπέ
στειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα
μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ. πολλὰ γὰρ
ἔπαθον σήμερον κατ᾽ ὄναρ δι᾽ αὐτόν. οἱ δὲ
ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι, ἔπεισαν τοὺς
ὄχλους ἵνα αἰτήσωνται τὸν βαραββᾶν, τὸν
δὲ ἰησοῦν ἀπολέσωσιν. ἀποκριθεὶς δὲ ὁ ἡ=
γεμὼν εἶπεν αὐτοῖς. τίνα θέλετε ἀπὸ τῶν
δύο ἀπολύσω ὑμῖν. οἱ δὲ εἶπον. βαραβ=
βᾶν. λέγει οὖν αὐτοῖς ὁ πιλάτος. τί οὖν ποι
ήσω ἰησοῦν τὸν λεγόμενον χριστόν. λέγου
σιν αὐτῷ πάντες. σταυρωθήτω. ὁ δὲ ἡγε=
μὼν ἔφη. τί γὰρ κακὸν ἐποίησεν. οἱ δὲ περισ
σῶς ἔκραζον λέγοντες. σταυρωθήτω. ἰδὼν
δὲ ὁ πιλάτος ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλ
λον θόρυβος γίνεται, λαβὼν ὕδωρ ἀπενίψα
το τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου λέγων.
ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου
τούτου, ὑμεῖς ὄψεσθε. καὶ ἀποκριθεὶς πᾶς
ὁ λαὸς εἶπε. τὸ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ
τὰ τέκνα ἡμῶν. τότε ἀπέλυσεν αὐτοῖς τὸν
βαραββᾶν, τὸν δὲ ἰησοῦν φραγελλώσας
παρέδωκεν ἵνα σταυρωθῇ. τότε οἱ στρατιῶ
ται τοῦ ἡγεμόνος παραλαβόντες τὸν ἰησοῦν
εἰς τὸ πραιτώριον, συνήγαγον ἐπ᾽ αὐτὸν
ὅλην τὴν σπεῖραν. καὶ ἐκδύσαντες αὐτὸν πε
ριέθηκαν αὐτῷ χλαμύδα κοκκίνην. καὶ πλέ
ξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν
κεφαλὴν αὐτοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξι=
ὰν αὐτοῦ. καὶ γονυπετήσαντες ἔμπροσθεν
αὐτοῦ, ἐνέπαιζον αὐτῷ λέγοντες. χαῖρε ὁ
βασιλεὺς τῶν ἰουδαίων. καὶ ἐμπτύσαντες
εἰς αὐτόν, ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπ=
τον εἰς τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅτε ἐνέπαιξαν
αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα. καὶ ἐ
νέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγα
γον αὐτὸν εἰς τὸ σταυρῶσαι. ἐξερχόμενοι
δέ, εὗρον ἄνθρωπον κυρηναῖον ὀνόματι σί
μωνα. τοῦτον ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυ
ρὸν αὐτοῦ. καὶ ἐλθόντες εἰς τόπον λεγόμε=
νον γολγοθά. ὅ ἐστι λεγόμενος κρανίου τό
πος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς με
μιγμένον. καὶ γευσάμενος οὐκ ἤθελε πιεῖν.
σταυρώσαντες δὲ αὐτόν, διεμερίσαντο τὰ ἱ
μάτια αὐτοῦ βάλοντες κλῆρον.
καὶ καθήμενοι ἐτή
ρουν αὐτὸν ἐκεῖ. καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφα
λῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμέ=

rabas. Congregatis ergo illis dixit
pilatus. Quē vultis dimittā vobis: bar
rabā: an ieſum qui dicitur chriſtꝰ? Scie
bat enī ꝙ per inuidiam tradidiſſēt eum.
Sedente autem illo pro tribunali: mi=
ſit ad eum vxor eius dicens.
Nihil tibi et iuſto illi. Multa enim
paſſa ſum hodie per viſuꝫ propter euꝫ.
Pꝛĩcipes āt ſacerdotū ꝛ ſeniores ꝑſua Mar.15.b
populis vt peterent barrabam: ⌊ ſeŕt Luce.23.c. Johis.18.g
ieſuꝫ xo ꝑderent. Rñdens autēꝫ preſes Act.3.c.
ait illis. Quem vultis vobis de C
duobꝰ dimitti? At illi dixerūt. Barra
bam. Dicit pilatus. Quid igitur faciaꝫ Mar.15.b
de ieſu qui dicitur chriſtꝰ? Dicunt Luce.23.c.
oms. Crucifigatur. Ait illis preſes.
Quid enim mali fecit? At illi magis
clamabāt dicētes. Crucifigatur. Vidēs
aūt pilatus quia nihil ꝓficeret: ſꝫ ma=
gis tumultus fieret: accepta aqua lauit
manus coram populo dicens.
Innocens ego ſum a ſanguine iuſti
huius: vos videritis. Et rñdēs vniuer
ſꝰ pplꝰs dixit. Sāguis eiꝰ ſuꝑ nos ꝛ ſuꝑ
filios noſtros. Tūc dimiſit illis mar.15.c.
barrabam: ieſum autem flagellatum Luce.23.d. Johā.19.c.
tradidit eis vt crucifigeretur. Tūc mili Mar.15.c.
tes preſidis ſuſcipientes ieſum Johā.19.a.
in pretorio: congregauerunt ad euꝫ
vniuerſam cohortem ꝛ exuentes eum:
chlamydē coccineā circūdederūt ei. Et D
coronā de ſpinis poſuerūt ſuꝑ ⌊ plectētes
caput eius: et harundinē in dextera
eius: et genu flexo ante
eum: illudebant ei dicentes. Aue
rex iudeorum. Et expuentes Mar.15.c.
in eum: acceperunt harundinē ꝛ ꝑcutie
bāt caput eius. Et poſtꝗ̄ illuſerunt
ei: exuerunt euꝫ chlamyde: ꝛ induerūt
eum veſtimentis eius: et duxerunt
eum vt crucifigerent. Exeuntes Marci.15.c
autem inuenerūt hoīeꝫ cyreneū noīe ſy Luce.23.d
monē: hūc angariauerūt vt tolleret crucē
eius. Et venerūt in locū q̄ dicitur Mar.15.d
golgotha: quod eſt caluarie locus. Et Luce.23.c. Johā.19.c.
dederunt ei vinū bibere cum felle mix= Mar.15.d Johā.19.c.
tū. Et cū guſtaſſet noluit bibere. Poſtꝗ̄ Marc.15.d
aūt crucifixerunt eū: diuiſerūt veſtimēta Luce.15.c Johā.19.d
eiꝰ ſortē mittētes: vt ipleret qd̄ dctm̄ ē ꝑ ꝓ
phetā dicēteꝫ. Diuiſerūt ſibi veſtimēta mea: Ps.21.
ꝛ ſuꝑ veſtē meā miſerūt ſortē. Et ſedentes E
eū. Et iposuerūt ſuꝑ caput ⌊ ſuabāt mar.15.d.
eius cauſam ipſius ſcriptam. Luce.15.c.

Digitized by Google

ναν ούτος εστίν ιησούς/ο βασιλεύς/των ιου-
δαίων. Τότε σταυρούνται συν αυτώ δύο
λησταί, εις εκ δεξιών, και εις εξ ευωνύμων.
/οι δε παραπορευόμενοι εβλασφήμουν αυ-
τόν κινούντες/τας κεφαλάς αυτών και λέ-
γοντες./ο καταλύων/τον ναόν και εν τρισίν
ημέραις οικοδομών, σώσον σεαυτόν. ει υι-
ός ει/του θεού, κατάβηθι από/του σταυρού.
ομοίως δε και/οι αρχιερείς εμπαίζοντες με-
τά/των γραμματέων και πρεσβυτέρων και
φαρισαίων, έλεγον. άλλους έσωσεν, εαυ-
τόν ου δύναται σώσαι. ει βασιλεύς ισραήλ
εστί, καταβάτω νυν από/του σταυρού, και
πιστεύσομεν επ αυτώ. πέποιθεν επί/τον
θεόν, ρυσάσθω νυν αυτόν ει θέλει αυτόν.
είπε γαρ ότι θεού ειμι υιός. Το δ αυτό και
/οι λησταί/οι συσταυρωθέντες αυτώ ωνείδι-
ζον αυτόν. από δε έκτης ώρας σκότος εγέ-
νετο επί πάσαν/την γην, έως ώρας ενάτης.
περί δε/την ενάτην ώραν, ανεβόησεν/ο ιη-
σούς φωνή μεγάλη λέγων. ηλί ηλί λιμά
σαβαχθανί. Τουτέστι θεέ μου θεέ μου ίνα
τι με εγκατέλιπες. Τινές δε/των εκεί εστώ-
των ακούσαντες έλεγον, ότι ηλίαν φωνεί ού-
τος. και ευθέως δραμών εις εξ αυτών και
λαβών σπόγγον πλήσας τε όξους, και πε-
ριθείς καλάμω, επότιζεν αυτόν./οι δε λοιποί
έλεγον. άφες ίδωμεν ει έρχεται ηλίας σώ-
σων αυτόν./ο δε ιησούς πάλιν κράξας φω-
νή μεγάλη, αφήκε/το πνεύμα. και ιδού/το
καταπέτασμα/του ναού εσχίσθη εις δύο, α-
πό άνωθεν έως κάτω. και/η γη εσείσθη, και
/αι πέτραι εσχίσθησαν. και/τα μνημεία α-
νεώχθησαν. και πολλά σώματα/των κεκοι-
μημένων αγίων ηγέρθη. και εξελθόντες εκ
/των μνημείων, μετά/την έγερσιν αυτού, ει-
σήλθον εις/την αγίαν πόλιν, και ενεφανίσθη-
σαν πολλοίς./ο δε εκατόνταρχος και/οι μετ
αυτού τηρούντες/τον ιησούν, ιδόντες/τον
σεισμόν και/τα γενόμενα, εφοβήθησαν σφό-
δρα, λέγοντες. αληθώς θεού υιός ην ούτος.
ήσαν δε εκεί γυναίκες πολλαί από μακρό-
θεν θεωρούσαι, αίτινες ηκολούθησαν/τω ιη-
σού από/της γαλιλαίας διακονούσαι αυ-
τώ. εν αις ην μαρία/η μαγδαληνή, και μα-
ρία/η/του ιακώβου και ιωσή μήτηρ, και/η μή-
τηρ/των υιών ζεβεδαίου. οψίας δε γενομέ-
νης, ήλθεν άνθρωπος πλούσιος από αρι-
μαθαίας τούνομα ιωσήφ ος και αυτός εμα-
θήτευσε/τω ιησού. ούτος προσελθών/τω
πιλάτω, ητήσατο/το σώμα/του ιησού. Τότε
/ο πιλάτος εκέλευσεν αποδοθήναι/το σώμα,
και λαβών/το σώμα/ο ιωσήφ, ενετύλιξεν αυ-

Hic eſt Jeſus rex iudeorum. Johã.19.d
Tunc crucifixi ſunt cum eo duo
latrones: vnꝰ a dextris ꝛ vnꝰ a ſiniſtris.
Pretereuntes aũt blaſphemabant eum Marc.15.d
mouentes capita ſua ꝛ dicentes. Vah ſup.26.f. Sapiẽ.2.c.
qui deſtruis templum dei et in triduo
illud reedificas: ſalua temetipſʒ. Si filiꝰ
dei es deſcende de cruce.
Silr et pricipes ſacerdotũ illudẽtes cuʒ Mar.15.e. Luce.23.e.
ſcribis et ſenioribus
dicebant. Alios ſaluos fecit: ſeipſum
non poteſt ſaluuʒ facere. Si rex iſrael Mar.15.e.
eſt: deſcendat nunc de cruce et
credemus ei. Confidit in
deo: liberet eum nunc ſi vult.
Dixit ei quia filiꝰ dei ſuʒ. Idipm aũt ꝛ Marci.15.e Luce.23.f.
latrones q crucifixi erãt cũ eo iproperabãt ei. A ſexta aũt hora tenebre facte ſũt
ſup vniuerſaʒ terrã vſqʒ ad horã nonã.
Et circa horam nonam clamauit ieſus F
voce magna dicens. Heli heli: lama
ſebthani. Hoc ẽ. Deꝰ meꝰ deꝰ meꝰ: Mar.15.c.
vt qd dereliquiſti me? Quidã aũt illic ſtã-
tes ꝛ audiẽtes dicebãt. Heliã vocat iſte.
Et continuo currens vnus ex eis Mar.15.f.
acceptã ſpongiaʒ impleuit aceto: ꝛ impo Luce.23.c.
ſuit arũdini ꝛ dabat ei bibẽ. Ceteri vo Johan.19.c
dicebãt. Sine videamꝰ an veniat helias Mar.15.f.
liberãs eũ. Jeſus aũt iterũ clamãs voce
magna emiſit ſpiritum. Et ecce Mar.15.f.
veluʒ templi ſciſſuʒ eſt in duas ptes a Luce.23.f.
ſũmo vſqʒ deorſuʒ. Et terra mota ẽ ꝛ Apoc.6.c.
petre ſciſſe ſunt: ꝛ monumẽta apta ſũt
et multa corpora ſanctorũ qui dormierãt ſurrexerũt. Et exeũ Heb.11.d.
monumẽtis poſt reſurrectionẽ eiꝰ vene-
runt in ſanctam ciuitatem ꝛ apparuerũt
multis. Centurio autem et qui cum Mat.15.f.
eo erant cuſtodientes ieſum: viſo Luce.23.g
terremotu ꝛ his q fiebant: timuerũt val-
de dicentes. Vere filiꝰ dei erat iſte.
Erant aũt ibi mulieres multe a longe: mar.15.f.
que ſecute erant ieſum
a galilea miniſtrantes ei:
inter qs erat maria magdalene: ꝛ ma-
ria iacobi: et ioſeph mater: et mater G
filiorũ zebedei. Cuʒ aũt ſero factũ eſſet: mar.15.g.
venit quidã hõ diues ab arimathia Luce.23.g.
nomine ioſeph qui et ipſe erat diſcipu- Johã.19.g
lꝰ ieſu. Hic acceſſit ad
pilatum: et petijt corpus ieſu. Tunc
pilatus iuſſit reddi corpus.
Et accepto corpore ioſeph inuoluit illũ i mar.15.g.

τὸ σινδόνι καθαρᾷ, καὶ ἔθηκεν αὐτὸ ἐν τῷ
καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν
τῇ πέτρᾳ. καὶ προσκυλίσας λίθον μέγαν
τῇ θύρᾳ τοῦ μνημείου, ἀπῆλθεν. ἦν δὲ ἐκεῖ
μαρία ἡ μαγδαληνή, καὶ ἡ ἄλλη μαρία κα-
θήμεναι ἀπέναντι τοῦ τάφου. τῇ δὲ ἐπαύρι
ον ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν, συνήχθη
σαν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι πρὸς πι=
λάτον, λέγοντες. κύριε. ἐμνήσθημεν ὅτι ἐκεῖ
νος ὁ πλάνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέ
ρας ἐγείρομαι. κέλευσον οὖν ἀσφαλισθῆναι
τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλ
θόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς, κλέψωσιν
αὐτόν, καὶ εἴπωσι τῷ λαῷ, ἠγέρθη ἀπὸ τῶν
νεκρῶν. καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων
αὐτῇ τῇ ἡμέρᾳ προσῆλθον τινὲς φαρισαῖοι
λέγοντες αὐτῷ. ἔξελθε καὶ πορεύου ἐντεῦ-
θεν, ὅτι ἡρώδης θέλει σε ἀποκτεῖναι. καὶ

eſt: & glorificabat deum. Reſpondens
autem archiſynagogus indignãs quia
ſabbato curaſſet ieſus: dicebat
turbe. Sex dies ſunt in qb⁹ op⁊ ope
rari. In his ergo venite & curamini:
et non in die ſabbati. Reſpondens
aũt ad illũ dixit dñs. Hypocrite vnuſqſ
q; veſtrum ſabbato non ſoluit bouem
ſuu⁊ aut aſinum a preſepio et ducit
ad aquã? Hanc autem filiam abrae
quam alligauit ſathanas ecce decem
& octo annis: non oportuit ſolui a
vinculo iſto die ſabbati?
Et hec cum diceret: erubeſcebant
omnes aduerſarij eius: & omnis
pplˢ gaudebat in vniuerſis q̃ glorioſe
fiebant ab eo. Dicebat ergo. Cui ſile C
eſt regnum dei: & cui ſimile eſtimabo
illd. Simile eſt grano ſinapis: quod Mat.13.d.
acceptum homo miſit in hortum ſuum Mar.4.f.
et creuit: et factũ eſt in arborẽ magnã
et volucres celi requieuerunt
in ramis ei⁹. Et iterum dixit. Cui ſile
eſtiabo regnũ dei. Simile eſt ⌐ i farine Mat.13.d.
fermento qd acceptũ mulier abſcondit
ſata tria: donec fermẽtaret totũ. Et ibat Mat.9.g.
per ciuitates et caſtella docens:
et iter faciens in hieruſalem.
Ait aũt illi quidã. Dñe ſi pauci ſunt
q ſaluãtur. Ipſe aũt dixit ad illos. Cõ Mat.7.c.
tendite intrare per anguſtã portã: q: mł Johã.7.c.
ti dico vobis querent intrare et non
poterũt. Cu⁊ aũt intrauerit paterfami
lias & clauſerit oſtium: incipietis foris
ſtare et pulſare ad oſtiũ dicentes
domine aperi nobis & reſpondẽs dicet
vob. Neſcio vos vnde ſitis. Tũc icipie Mat.7.c.
tis dicere. Mãducauim⁹ corã te et bi 25.b.
bimus: et in plateis noſtris docuiſti.
Et dicet vobis. Neſcio vos
vnde ſitis. Diſcedite a me oẽs operarij Mat.7.f.
iniquitatis. Ibi erit fletus 25.g.
et ſtridor dentium: cum videritis Mat.8.c.
abraam & yſaac & iacob & omnes
prophetas in regno dei: vos D
autem expelli foras. Et venient ab Mat.8.c.
oriente & occidẽte & aquilone & auſtro:
et accumbent in regno
dei. Et ecce ſũt nouiſſimi qui erãt pmi: Mat.19.g.
& ſunt primi qui erant nouiſſimi. In Mar.10.c.
ipſa die acceſſerũt quidam phariſeorũ
dicentes illi. Exi & vade hinc:
quia herodes vult te occidere. Et

Digitized by Google

εἶπεν αὐτοῖς. πορευθέντες εἴπατε τῇ ἀλώ-
πεκι ταύτῃ. ἰδοὺ ἐκβάλλω δαιμόνια καὶ
ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ τῇ
τρίτῃ τελειοῦμαι. πλὴν δεῖ με σήμερον καὶ
αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι, ὅτι οὐκ
ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω ἱερου-
σαλήμ. ἱερουσαλὴμ ἱερουσαλὴμ ἡ ἀποκτέν-
νουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα
τοὺς ἀπεσταλμένους πρὸς αὐτήν. ποσά-
κις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου ὃν τρό-
πον ὄρνις ἐπισυνάγει τὴν ἑαυτῆς νοσσιὰν ὑ-
πὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. ἰδοὺ
ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. λέγω
δὲ ὑμῖν, ὅτι οὐ μή με ἴδητε ἕως ἂν ἥξῃ ὅ-
τε εἴπητε, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνό-
ματι κυρίου. Cap.14.

Καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκον
τινὸς τῶν ἀρχόντων τῶν φαρισαίων
σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν
παρατηρούμενοι αὐτόν. καὶ ἰδοὺ ἄνθρω-
πός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ.
καὶ ἀποκριθεὶς ὁ ἰησοῦς, εἶπε πρὸς τοὺς νο-
μικοὺς καὶ φαρισαίους λέγων. εἰ ἔξεστι τῷ
σαββάτῳ θεραπεύειν. οἱ δὲ ἡσύχασαν. καὶ
ἐπιλαβόμενος ἰάσατο αὐτόν, καὶ ἀπέλυ-
σεν. καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπε. τίνος
ὑμῶν ὄνος ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται,
καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέ-
ρᾳ τοῦ σαββάτου. καὶ οὐκ ἴσχυσαν ἀντα-
ποκριθῆναι αὐτῷ πρὸς ταῦτα. ἔλεγε δὲ
πρὸς τοὺς κεκλημένους παραβολήν, ἐπέ-
χων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο
λέγων πρὸς αὐτούς. ὅταν κληθῇς ὑπό τι-
νος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρω-
τοκλισίαν, μήποτε ἐντιμότερός σου ἦ κε-
κλημένος ὑπ᾽ αὐτοῦ, καὶ ἐλθὼν ὁ σὲ καὶ αὐ-
τὸν καλέσας, ἐρεῖ σοι. δὸς τούτῳ τόπον,
καὶ τότε ἄρξῃ μετ᾽ αἰσχύνης τὸν ἔσχατον
τόπον κατέχειν. ἀλλ᾽ ὅταν κληθῇς, πορευ-
θεὶς ἀνάπεσε εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅ-
ταν ἔλθῃ ὁ κεκληκώς σε, εἴπῃ σοι. φίλε
προσανάβηθι ἀνώτερον. τότε ἔσται σοι δό-
ξα ἐνώπιον τῶν συνανακειμένων σοι. ὅτι
πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ
ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. ἔλεγε δὲ
καὶ τῷ κεκληκότι αὐτόν. ὅταν ποιῇς ἄρισ-
τον ἢ δεῖπνον μὴ φώνει τοὺς φίλους σου,
μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς
συγγενεῖς σου, μηδὲ γείτονας πλου-
σίους μήποτε καὶ αὐτοί σε ἀντικαλέσω-
σι καὶ γένηταί σοι ἀνταπόδομα. ἀλλ᾽ ὅ-
ταν ποιῇς δοχὴν κάλει πτωχούς, ἀνα-
πήρους, χωλούς, τυφλούς, καὶ μακάρι-

ait illis. Ite et dicite vulpi
illi. Ecce eiicio demonia et
ſanitates perficio hodie et cras: et
tertia die cōſumor. Uerũtñ opʒ me ho
die ⁊ cras ⁊ ſequẽti die ambulare: q̄r nō
capit ꝓphetam perire extra hieruſalē.
Hieruſalem hieruſalem que occidis Mat.23.g.
prophetas ⁊ lapidas
eos qui mittuntur ad te. Quotiens
volui congregare filios tuos quẽadmo
dum auis nidum ſuum ſub
pennis et noluiſti. Ecce
relinquet' vob' dom⁹ vr̃a deſerta. Dico
aũt vobis: q̄r nō videbitis me donec ve
niat cũ dicetis: benedict⁹ q̄ venit in no
mine domini. Cap.14.

A

Et factũ ē cũ introiſſet ieſus in do
mũ cuiuſdã principis phariſeorum
ſabbato manducare panem et ipſi
obſeruabant eum. Et ecce homo
quidam hydropicus erat ante illum.
Et reſpondēs ieſus dixit ad legiſpitos
et phariſeos dicens. Si licet Mat.12.b.
ſabbato curare? At illi tacuerũt. Ipſe vo Marci.3.a. ſup.6.b
apprehenſum ſanauit eum ac dimiſit.
Et reſpondēs ad illos dixit. Cuius ſup.13.c.
veſtrum aſin⁹ aut bos in puteũ cadet
⁊ non continuo extrahet illum die
ſabbati? Et non poterant
ad hec reſpondere illi. Dicebat autē ⁊ Mat.23.b Marci.12.g
ad inuitatos parabolã: intendens
quomodo primos accubitus eligerent:
dicens ad illos. Cum inuitatus fueris

B

ad nuptias: nō diſcũbas in primo loco
ne forte honoratior te ſit inuitatus
ab illo: et veniens is qui te et illum
vocauit dicat tibi. Da huic locũ:
et tunc incipias cum rubore nouiſſimũ
locũ tenere. Sed cũ vocat⁹ fueris va
de recumbe in nouiſſimo loco: vt cum
venerit q̄ te inuitauit dicat tibi. Amice
aſcende ſuperius. Tunc erit tibi gloria
coram ſimul diſcũbentibus: quia Mat.23.b
omnis qui ſe exaltat humiliabitur: et Iaco.4.c.
qui ſe humiliat exaltabitur. Dicebat aũt
et ei q̄ ſe inuitauerat. Cũ facis prã-

C

diũ aut cenam: noli vocare amicos tuos
neq; fratres tuos: neq;
cognatos: neq; vicinos diuites:
ne forte et ipſi te reinuitent
et fiat tibi retributio. Sed cum Thob.4.b.
facis conuiuiũ voca pauperes debiles
claudos et cecos: et beatus



Digitized by Google

ος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί
σοι. ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀνα=
στάσει τῶν δικαίων. ἀκούσας δέ τις τῶν συ
ναναχειμένων ταῦτα εἶπεν αὐτῷ. μακάριος
ὃς φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.
ὁ δὲ εἶπεν αὐτῷ ἄνθρωπός τις ἐποίησε δεῖ=
πνον μέγα, καὶ ἐκάλεσε πολλούς, καὶ ἀπέ
στειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπ=
νου εἰπεῖν τοῖς κεκλημένοις ἔρχεσθε ὅτι ἤδη
ἕτοιμα ἐστὶ πάντα. καὶ ἤρξαντο ἀπὸ μιᾶς
παραιτεῖσθαι πάντες. ὁ πρῶτος εἶπεν αὐ=
τῷ. ἀγρὸν ἠγόρασα καὶ ἔχω ἀνάγκην ἐξελ
θεῖν καὶ ἰδεῖν αὐτόν. ἐρωτῶ σε ἔχε με παρῃ
τημένον. καὶ ἕτερος εἶπε. ζεύγη βοῶν ἠγό=
ρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐ=
τά. ἐρωτῶ σε ἔχε με παρῃτημένον. καὶ ἕτε=
ρος εἶπε. γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ
δύναμαι ἐλθεῖν. καὶ παραγενόμενος ὁ δοῦ
λος ἐκεῖνος, ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦ
τα. τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης, εἶπε τῷ
δούλῳ αὐτοῦ. ἔξελθε ταχέως εἰς τὰς πλα=
τείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτω
χοὺς καὶ ἀναπήρους καὶ τυφλοὺς καὶ χω=
λοὺς εἰσάγαγε ὧδε. καὶ εἶπεν ὁ δοῦλος.
κύριε γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος
ἐστί. καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον.
ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμούς, καὶ ἀ
νάγκασον εἰσελθεῖν ἵνα γεμισθῇ ὁ οἶκός μου.
λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐ=
κείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ
δείπνου. συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πο
λλοί, καὶ στραφεὶς εἶπε πρὸς αὐτούς. εἴ τις
ἔρχεται πρός με, καὶ οὐ μισεῖ τὸν πατέρα
αὐτοῦ καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα καὶ
τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀ=
δελφάς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ
δύναταί μου εἶναι μαθητής. καὶ ὅστις οὐ
βαστάζει τὸν σταυρὸν αὐτοῦ καὶ ἔρχεται ὀ=
πίσω μου, οὐ δύναται εἶναί μου μαθητής.
τίς γὰρ ἐξ ὑμῶν ὁ θέλων πύργον οἰκοδομῆ
σαι, οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δα=
πάνην εἰ ἔχει τὰ πρὸς ἀπαρτισμόν, ἵνα μήπο
τε θέντος αὐτοῦ θεμέλιον, καὶ μὴ ἰσχύον=
τος ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξων
ται ἐμπαίζειν αὐτῷ λέγοντες ὅτι οὗτος ὁ ἄν
θρωπος ἤρξατο οἰκοδομεῖν καὶ οὐκ ἴσχυσεν
ἐκτελέσαι. ἢ τίς βασιλεὺς πορευόμενος
συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλεμον, οὐ=
χὶ καθίσας πρῶτον βουλεύεται εἰ δυνατός
ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι τῷ μετὰ
εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ᾽ αὐτόν. εἰ δὲ
μήγε, ἔτι πόρρω αὐτοῦ ὄντος, πρεσβείαν
ἀποστείλας ἐρωτᾷ τὰ πρὸς εἰρήνην. οὕ=

eris: quia non habent retribuere
tibi: retribuetur enim tibi in resurrectiõe
iustorum. Hec cũ audiſſet quidã de his D
diſcũbentibus dixit illi. Beatus Es.77.
qui manducat panem in regno dei. Mat.22.a.
At ipſe dixit ei. Homo quidã fecit ce Apoc.19.b
nam magnã et vocauit multos. Et mi=
ſit ſeruum ſuum hora cene
dicere inuitatis vt venirent: quia iam
parata ſunt omnia. Et ceperunt ſimul
omnes excuſare. Prim9 dixit ei.
Villaʒ emi: et neceſſe habeo exire
et videre illã. Rogo te habe me excuſa
tum. Et alter dixit. Juga boum emi
quinqʒ: et eo probare illa.
Rogo te habe me excuſatum. Et alius
dixit. Vxorem duxi: et ideo non
poſſum venire. Et reuerſus ſeruus E
nunciauit hec domino ſuo.
Tunc iratus paterfamilias dixit
ſeruo ſuo. Exi cito in plateas
et vicos ciuitatis: et pauperes
ac debiles et cecos et claudos
introduc huc. Et ait ſeruus.
Dñe factũ eſt vt impaſti: et adbuc loc9
eſt. Et ait dominus ſeruo.
Exi in vias et ſepes et compelle
intrare: vt impleatur domus mea.
Dico autẽ vobis qꝛ nemo virorũ illorũ Mat.6.c.
qui vocati ſunt guſtabit cenam meam.
Ibant autem turbe multe cum eo: F
et conuerſus dixit ad illos. Si quis Mat.10.g.
venit ad me et non odit patrem
ſuum et matrem et vxorem et
filios et fratres et ſorores
adbuc autem et animam ſuam non
poteſt meus eſſe diſcipul9. Et qui nõ Mat.10.g
baiulat crucem ſuam et venit poſt 7.16.f.
me: non poteſt meus eſſe diſcipulus. Mar.8.g.
Quis enim ex vobis volens turri edifica= ſup.9.c.
re: nõne ꝑus ſedẽs ↄputat ſũpt9 q̃ neceſ
ſarij ſũt ſi habeat ad ꝑficiẽdũ: ne poſtq̃
poſuerit fundamentum et non potuerit
perficere: omnes qui vident incipiant
illudere ei dicentes: quia hic homo
cepit edificare et non potuit
conſummare? Aut quis rex iturus G
cõmittere bellũ aduerſus alium regẽ nõ
ſedens prius cogitat ſi poſſit
cum decẽ milib9 occurrere ei qui cum
viginti milibus venit ad ſe? Alioquin
adbuc illo longe agente: legationem Mat.10.g.
mittens rogat ea que pacis ſũt. Sic infra.18.c.

Digitized by Google

τως οὖν πᾶς ἐξ ὑμῶν ὃς οὐκ ἀποτάσσεται
πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύνα-
ται μου εἶναι μαθητής. καλὸν τὸ ἅλας· ἐὰν
δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἀρτυθήσεται.
οὔτε εἰς γῆν, οὔτε εἰς κοπρίαν εὔθετόν ἐσ-
τιν, ἔξω βάλλουσιν αὐτό. ὁ ἔχων ὦτα ἀκού-
ειν, ἀκουέτω. Cap.15.

Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ τε-
λῶναι καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐ-
τοῦ. καὶ διεγόγγυζον οἱ φαρισαῖοι καὶ οἱ
γραμματεῖς λέγοντες. ὅτι οὗτος ἁμαρτω-
λοὺς προσδέχεται καὶ συνεσθίει αὐτοῖς. εἶπε
δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην λέ-
γων. τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν
πρόβατα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν οὐ κα-
ταλείπει τὰ ἐνενήκοντα ἐννέα ἐν τῇ ἐρήμῳ,
καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλὸς ἕως εὕρῃ
αὐτό. καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους
ἑαυτοῦ χαίρων, καὶ ἐλθὼν εἰς τὸν οἶκον,
συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας
λέγων αὐτοῖς. συγχάρητέ μοι ὅτι εὗρον τὸ
πρόβατόν μου τὸ ἀπολωλός. λέγω ὑμῖν,
ὅτι οὕτως χαρὰ ἔσται ἐν τῷ οὐρανῷ ἐπὶ ἑ-
νὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐνενήκοντα
ἐννέα δικαίοις οἵτινες οὐ χρείαν ἔχουσι με-
τανοίας. ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα
ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύ-
χνον καὶ σαροῖ τὴν οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς
ἕως ὅτου εὕρῃ. καὶ εὑροῦσα συγκαλεῖται
τὰς φίλας καὶ τὰς γείτονας λέγουσα. συγ-
χάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀπώ-
λεσα. οὕτως λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώ-
πιον τῶν ἀγγέλων τοῦ θεοῦ ἐπὶ ἑνὶ ἁμαρ-
τωλῷ μετανοοῦντι. εἶπε δέ. ἄνθρωπος τις
εἶχε δύο υἱούς, καὶ εἶπεν ὁ νεώτερος αὐ-
τῶν τῷ πατρί. πάτερ, δός μοι τὸ ἐπιβάλ-
λον μέρος τῆς οὐσίας, καὶ διεῖλεν αὐτοῖς
τὸν βίον. καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας συ-
ναγαγὼν ἅπαντα ὁ νεώτερος υἱός, ἀπεδήμη-
σεν εἰς χώραν μακράν, καὶ ἐκεῖ διεσκόρπισε
τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως. δαπανήσαν-
τος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυ-
ρὸς κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρ-
ξατο ὑστερεῖσθαι. καὶ πορευθεὶς ἐκολλήθη ἑ-
νὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης, καὶ ἔ-
πεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσ-
κειν χοίρους. καὶ ἐπεθύμει γεμίσαι τὴν κοι-
λίαν αὐτοῦ ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ
χοῖροι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. εἰς ἑαυ-
τὸν δὲ ἐλθὼν εἶπε. πόσοι μίσθιοι τοῦ πα-
τρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ
λιμῷ ἀπόλλυμαι. ἀναστὰς πορεύσομαι
πρὸς τὸν πατέρα μου καὶ ἐρῶ αὐτῷ. πά-

ergo omnis ex vobis qui non renũciat
omnibus que poſſidet: non poteſt
me eſſe diſcipulus. Bonũ eſt ſal. Si — Mat.5.b.
autem ſal euanuerit: in quo condietur? — Marci.9.g.
Neq̃ in terrã neq̃ in ſterq̃liniũ vtile ẽ:
ſed foras mittetur. Qui habet aures au
diendi: audiat. Cap.15.

Erãt aũt appropinquãtes ei publica — A
ni et peccatores vt audirent illum. — Mat.9.b. Mar.2.d.
Et murmurabant phariſei et
ſcribe dicentes. Quia hic peccatores
recipit et manducat cum illis.
Et ait ad illos parabolã iſtaz dicens. — Mat.18.b.
Quis ex vobis homo qui habet centũ
oues: et ſi pdiderit vnã ex illis: nõne di
mittit nonaginta nouem in deſerto
et vadit ad illã que perierat donec inue
niat eam? Et cũ iuenerit eã: iponit in hu
meros ſuos gaudens: et veniens domũ
conuocat amicos et vicinos
dicẽs illis. Cõgratulamini mihi: qr iueni
ouem meam q̃ perierat. Dico vobis
q̃ ita gaudium erit in celo ſuper vno
pctõre pniam agente: q̃ ſupra nonagi-
tanouẽ iuſtis qui nõ indigent penitẽtia.
Aut q̃ mulier habẽs drachmas decẽ: — B
ſi pdiderit drachmã vnã: nõne accẽdit
lucernã et euerrit domũ et q̃rit diligẽter — 5.euerrit. i. ſcopis mundat.
donec ĩueniat eã? Et cũ iuenerit ↄuocat
amicas et vicinas: dicẽs. Cõgratulamini
mihi: qr iueni drachmã quã pdiderã.
Ita dico vobis: gaudium erit coram
angelis dei ſuper vno peccatore
pniam agente. Ait aũt. Homo qdã
habuit duos filios: et dixit adoleſcẽtior
patri. Pater: da mihi ex illis
portionẽ ſubſtãtie mee q̃ me ptingit. Et
diuiſit illis ſubſtantiã. Et nõ poſt mul
tos dies ↄgregatis oib9 adoleſcẽtior fili9
pegre pfect9 ẽ in regionẽ longiquã et i
bi diſſipauit ſubſtãtiã ſuã viuẽdo luxurio
ſe. Et poſtq̃ oĩa cõſumaſſet: facta ẽ fa-
mes valida in regione illa: et ipẽ cepit
egere. Et abijt et adheſit vni
ciuium regionis illius: et miſit
illum in villam ſuam vt paſceret
porcos. Et cupiebat implere ventrẽ
ſuum de ſiliquis quas
porci mãducabãt: et nẽo illi dabat. In
ſe ãt reuerſus dixit. Quãti mercẽnarij — C
in domo pris mei abũdant panib9: ego
aũt hic fame pereo. Surgam et ibo
ad patrem meum et dicam ei. Pater — j.18.c.

τερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιον
σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου
ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. καὶ ἀ-
ναστὰς ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ. ἔτι
δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν
ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη, καὶ
δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ
καὶ κατεφίλησεν αὐτόν. εἶπε δὲ αὐτῷ ὁ υ-
ἱός. πάτερ ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώ-
πιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υ-
ἱός σου. εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους
αὐτοῦ. ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην
καὶ ἐνδύσατε αὐτόν, καὶ δότε δακτύλιον
εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς
τοὺς πόδας. καὶ ἐνέγκαντες τὸν μόσχον
τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες εὐφραν-
θῶμεν, ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ
ἀνέζησε, καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη. καὶ ἤρ-
ξαντο εὐφραίνεσθαι. ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ
πρεσβύτερος ἐν ἀγρῷ. καὶ ὡς ἐρχόμενος
ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χο-
ρῶν. καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων
ἐπυνθάνετο τί εἴη ταῦτα. ὁ δὲ εἶπεν αὐτῷ.
ὅτι ὁ ἀδελφός σου ἥκει, καὶ ἔθυσεν ὁ πατήρ
σου τὸν μόσχον τὸν σιτευτόν, ὅτι ὑγιαί-
νοντα αὐτὸν ἀπέλαβεν. ὠργίσθη δὲ καὶ οὐκ
ἤθελεν εἰσελθεῖν. ὁ οὖν πατὴρ αὐτοῦ ἐξελ-
θὼν, παρεκάλει αὐτόν. ὁ δὲ ἀποκριθεὶς εἶ-
πε τῷ πατρί. ἰδοὺ τοσαῦτα ἔτη δουλεύω
σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον,
καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον ἵνα μετὰ
τῶν φίλων μου εὐφρανθῶ. ὅτε δὲ ὁ υἱός
σου οὗτος ὁ καταφαγών σου τὸν βίον με-
τὰ πορνῶν ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον
τὸν σιτευτόν. ὁ δὲ εἶπεν αὐτῷ. τέκνον, σὺ
πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ
σά ἐστιν. εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει,
ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ ἀ-
νέζησε καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη. Cap.16.
Ἔλεγε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ
ἄνθρωπός τις ἦν πλούσιος ὃς εἶχεν
οἰκονόμον, καὶ οὗτος διεβλήθη αὐτῷ ὡς
διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ. καὶ
φωνήσας αὐτὸν εἶπεν αὐτῷ. τί τοῦτο ἀκού-
ω περὶ σοῦ. ἀπόδος τὸν λόγον τῆς οἰκονο-
μίας σου. οὐ γὰρ δυνήσῃ ἔτι οἰκονομεῖν.
εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος. τί ποιήσω,
ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν
ἀπ' ἐμοῦ. σκάπτειν οὐκ ἰσχύω, ἐπαιτεῖν αἰ-
σχύνομαι. ἔγνων τί ποιήσω, ἵνα ὅταν μετα-
σταθῶ τῆς οἰκονομίας, δέξωνταί με εἰς τοὺς οἴ-
κους αὐτῶν. καὶ προσκαλεσάμενος ἕνα ἕκα-
στον τῶν χρεωφειλετῶν τοῦ κυρίου ἑαυτοῦ

peccaui in celum: et coram
te: iam nõ sũ dign9 vocari filius tu9
fac me ſicut vnũ de mercenariis tuis.
Et ſurgens venit ad patrẽ ſuũ. Cũ
autem adhuc longe eſſet: vidit illum
pater ipſius: et miſericordia mot9 eſt: et
accurrens cecidit ſuper collum eius
et oſculat9 eſt eum. Dixit q; ei filius.
Pater peccaui in celum et coram
te: iam non ſum dignus vocari filius
tuus. Dixit autem pater ad ſeruos
ſuos. Cito proferte ſtolam primam
et induite illũ: et date annulum
in manum eius: et calciamenta in
pedes eius. Et adducite vitulum
ſaginatũ et occidite: et mãducem9 et epu
lemur: q2 hic filius me9 mortu9 erat et D
reuixit: perierat et inuẽt9 eſt. Et cepe
runt epulari. Erat autem filius eius
ſenior in agro. Et cum veniret et
appropinquaret domui audiuit ſympho
niã et chorũ: et vocauit vnũ de ſeruis et
interrogauit quid hoc eſſet. Is q; di
xit illi. Frater tuus venit: et occidit pr
tuus vitulum ſaginatum: quia ſaluum
illũ recepit. Indignatus eſt aũt et nole
bat introire. Pater ergo illius egreſſus
cepit rogare illum. At ille rñdẽs dixit
patri ſuo. Ecce tot annis ſeruio
tibi et nũq̃ mandatũ tuum preteriui
et nũq̃ dediſti mihi hedum vt cum
amicis meis epularer: ſed poſtq̃ filius
tu9 hic qui deuorauit ſubſtãtiã ſuã cũ
meretricibus venit: occidiſti illi vitulũ
ſaginatum. At ipſe dixit illi. Fili tu
ſemper mecum es et omnia mea
tua ſunt: epulari aũt et gaudere oporte
bat: q2 frater tu9 hic mortu9 erat et re
uixit: perierat et inuentus eſt. Cap.16.
Dicebat aũt et ad diſcipulos ſuos. A
Homo quidã erat diues qui hẽ
bat villicũ: et hic diffamat9 ẽ apud illũ:
quaſi diſſipaſſet bona illi9. Et
vocauit illũ et ait illi. Quid hoc audio
de te. Redde rationem villicationis Mat. 25. c.
tue. Iam enim non poteris villicare.
Ait aũt villicus intra ſe. Quid faciã:
quia dominus meus aufert
a me villicationẽ. Fodẽ nõ valeo: mẽ
dicare erubeſco. Scio qd faciã: vt cũ
amot9 fuero a villicatiõe recipiant me i
domos ſuas. Conuocatis itaq; ſingulis
debitoribus domini ſui

Digitized by Google

ἔλεγε τῷ πρώτῳ. πόσον ὀφείλεις τῷ κυρί-
ῳ μου. ὁ δὲ εἶπεν. ἑκατὸν βάτους ἐλαίου.
καὶ εἶπεν αὐτῷ. δέξαι σου τὸ γράμμα, καὶ
καθίσας ταχέως γράψον πεντήκοντα. ἔπει-
τα ἑτέρῳ εἶπε. σὺ δὲ πόσον ὀφείλεις. ὁ δὲ
εἶπεν. ἑκατὸν κόρους σίτου. καὶ λέγει αὐτῷ
δέξαι σου τὸ γράμμα, καὶ γράψον ὀγδοή-
κοντα. καὶ ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον
τῆς ἀδικίας, ὅτι φρονίμως ἐποίησεν. ὅτι οἱ
υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ
τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑ-
αυτῶν εἰσί. κἀγὼ ὑμῖν λέγω. ποιήσατε ἑ-
αυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας
ἵνα ὅταν ἐκλείπητε δέξωνται ὑμᾶς εἰς τὰς
αἰωνίους σκηνάς. ὁ πιστὸς ἐν ἐλαχίστῳ,
καὶ ἐν πολλῷ πιστός ἐστι. καὶ ὁ ἐν ἐλα-
χίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄδικός ἐσ-
τίν. εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πισ-
τοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν
πιστεύσει. καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ
οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει.
οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δου-
λεύειν. ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτε-
ρον ἀγαπήσει. ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέ-
ρου καταφρονήσει. οὐ δύνασθε θεῷ δου-
λεύειν καὶ μαμωνᾷ. ἤκουον δὲ ταῦτα πάν-
τα καὶ οἱ φαρισαῖοι φιλάργυροι ὑπάρχον-
τες, καὶ ἐξεμυκτήριζον αὐτόν. καὶ εἶπεν αὐ-
τοῖς. ὑμεῖς ἐστὲ οἱ δικαιοῦντες ἑαυτοὺς ἐ-
νώπιον τῶν ἀνθρώπων, ὁ δὲ θεὸς γινώσκει
τὰς καρδίας ὑμῶν. ὅτι τὸ ἐν ἀνθρώποις ὑ-
ψηλὸν βδέλυγμα ἐνώπιον τοῦ θεοῦ ἦν. ὁ νό-
μος καὶ οἱ προφῆται ἕως ἰωάννου. ἀπὸ τό-
τε ἡ βασιλεία τοῦ θεοῦ εὐαγγελίζεται, καὶ
πᾶς εἰς αὐτὴν βιάζεται. εὐκοπώτερον δέ ἐστι
τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν ἢ τοῦ
νόμου μίαν κεραίαν πεσεῖν. πᾶς ὁ ἀπολύων
τὴν γυναῖκα αὐτοῦ καὶ γαμῶν ἑτέραν μοι-
χεύει. καὶ πᾶς ὁ ἀπολελυμένην ἀπὸ ἀν-
δρὸς γαμῶν μοιχεύει. ἄνθρωπος δέ τις ἦν
πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ
βύσσον, εὐφραινόμενος καθημέραν λαμ-
πρῶς. πτωχὸς δέ τις ἦν ὀνόματι λάζαρος,
ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλ-
κωμένος, καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν
ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης
τοῦ πλουσίου. ἀλλὰ καὶ οἱ κύνες ἐρχόμε-
νοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. ἐγένετο δὲ ἀ-
ποθανεῖν τὸν πτωχόν, καὶ ἀπενεχθῆναι αὐ-
τὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ
ἀβραάμ. ἀπέθανε δὲ καὶ ὁ πλούσιος καὶ ἐτά-
φη. καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς
αὐτοῦ ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν ἀ-

dicebat primo. Quantum debes dño
meo? At ille dixit. Centū cados olei.
Dixitq; illi. Accipe cautionē tuam et
ſede cito ſcribe quinquaginta. Deinde
alio dixit. Tu vero quātū debes? qui
ait: centum choros tritici. Ait illi.
Accipe litteras tuas et ſcribe octogin-
ta. Et laudauit dominus villicum
iniquitatis quia prudenter feciſſet: quia
filij huius ſeculi prudentiores
filijs lucis in generatione ſua
ſunt. Et ego vobis dico: facite vobis
amicos de mammona iniquitatis:
vt cum defeceritis: recipiant vos in
eterna tabernacula. Qui fidelis ē i mini
mo et in maiori fidelis eſt: et qui i modi
co iniquꝰ eſt et in maiori iniquꝰ eſt. B
Si ergo in iniquo mãmõa fideles
non fuiſtis: quod verum eſt quis
credet vob[is]? Et ſi in alieno fide
les nõ fuiſtis: qđ veſtrū ē qs dabit vo
bis? Nemo ſeruus pōt duobꝰ dñis ſer- Mat.6.c.
uire. Aut enim vnum odiet et alterū
diliget: aut vni adherebit et alterum
contemnet. Non poteſtis deo ſeruire
et mãmone. Audiebant aūt omnia hec
phariſei qui erant auari:
et deridebant illum. Et ait illis.
Vos eſtis qui iuſtificatis vos coram
hominibus: deus autem nouit
corda veſtra. Quia qđ hominibꝰ altū ē: Mat.11.d.
abominatio eſt ante deum. Lex
et prophete vſq; ad iohannem: ex eo
regnum dei euangelizatur et Mat.5.b.
omnis in illud vim facit. Faciliꝰ ē āt Mar.13.g.
celū et terram preterire: q̃ de Mat.5.e.et 19.b.
lege vnum apicē cadere. Omis qui dimit Mar.10.b.
tit vxorē ſuā: et alterã ducit: mechat.
Et qui dimiſſam a viro Apoc.18.c.
ducit mechat. Homo quidam erat
diues qui induebatur purpura et
byſſo: et epulabatur quotidie ſplēdide. C
Et erat quidam mendicus noīe lazarꝰ:
qui iacebat ad ianuā eius vlceribꝰ ple
nus: cupiens ſaturari de
micis que cadebant de menſa
diuitis: et nemo illi dabat. Sed et canes
veiebāt et lingebāt vlcera eiꝰ. Factū ē āt
mendicus: et portaretur vt moreretur
ab angelis in ſinum
abrae. Mortuꝰ ē āt et diues et ſepultꝰ
eſt in inferno. Eleuans autem oculos
ſuos cum eſſet in tormētis: vidit abraā

Digitized by Google

βραάμ ἀπὸ μακρόθεν, καὶ λάζαρον ἐν τοῖς
κόλποις αὐτοῦ, καὶ αὐτὸς φωνήσας εἶπε.
πάτερ ἀβραάμ ἐλέησόν με, καὶ πέμψον λά
ζαρον ἵνα βάψη τὸ ἄκρον τοῦ δακτύλου αὐ
τοῦ ὕδατος, καὶ καταψύξη τὴν γλῶσσαν
μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτη. εἶ-
πε δὲ ἀβραάμ. τέκνον, μνήσθητι ὅτι ἀπέλα
βες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ λά
ζαρος ὁμοίως τὰ κακά. νῦν δὲ ὅδε παρακα-
λεῖται, σὺ δὲ ὀδυνᾶσαι. καὶ ἐπὶ πᾶσι τού-
τοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐσ
τήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν
πρὸς ὑμᾶς μὴ δύνωνται, μὴ δὲ οἱ ἐκεῖθεν
πρὸς ἡμᾶς διαπερῶσιν. εἶπε δέ. ἐρωτῶ
οὖν σε πάτερ ἵνα πέμψης αὐτὸν εἰς τὸν οἶ
κον τοῦ πατρός μου. ἔχω γὰρ πέντε ἀδελ
φούς, ὅπως διαμαρτύρηται αὐτοῖς ἵνα μὴ
καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον
τῆς βασάνου. λέγει αὐτῷ ἀβραάμ. ἔχουσι
μωσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν
αὐτῶν. ὁ δὲ εἶπεν. οὐχί πάτερ ἀβραάμ.
ἀλλ' ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐ
τούς, μετανοήσουσιν. εἶπε δὲ αὐτῷ. εἰ μω-
σέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐ
δὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πεισθήσονται.

Cap.17.

Εἶπε δὲ πρὸς τοὺς μαθητάς. ἀνένδεκτον
ἐστὶ τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα. οὐαὶ
δὲ δι' οὗ ἔρχεται. λυσιτελεῖ αὐτῷ εἰ μύ-
λος ὀνικὸς περίκειται περὶ τὸν τράχηλον αὐ
τοῦ, καὶ ἔρριπται εἰς τὴν θάλασσαν, ἢ ἵνα
σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων. προσέ
χετε ἑαυτοῖς. ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελ
φός σου, ἐπιτίμησον αὐτῷ, καὶ ἐὰν μετανο
ήσῃ ἄφες αὐτῷ. καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας
ἁμάρτῃ εἰς σέ, καὶ ἑπτάκις τῆς ἡμέρας ἐπι
στρέψῃ λέγων μετανοῶ, ἀφήσεις αὐτῷ. καὶ
εἶπον οἱ ἀπόστολοι τῷ κυρίῳ. πρόσθες ἡ-
μῖν πίστιν. εἶπε δὲ ὁ κύριος. εἰ εἴχετε πίστιν
ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμί-
νῳ ταύτῃ ἐκριζώθητι καὶ φυτεύθητι ἐν τῇ θα
λάσσῃ, καὶ ὑπήκουσεν ἂν ὑμῖν. τίς δὲ ἐξ ὑ-
μῶν δοῦλον ἔχων ἀροτριῶντα ἢ ποιμαίνον
τα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ, ἐρεῖ εὐθέ-
ως παρελθὼν ἀνάπεσε, ἀλλ' οὐχὶ ἐρεῖ αὐ
τῷ ἑτοίμασον τί δειπνήσω, καὶ περιζωσά-
μενος διακόνει μοι ἕως φάγω καὶ πίω, καὶ
μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ. μὴ χά
ριν ἔχει τῷ δούλῳ ἐκείνῳ, ὅτι ἐποίησε τὰ δια
ταχθέντα. οὐ δοκῶ. οὕτως καὶ ὑμεῖς ὅταν
ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγε
τε ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν. ὅτι ὃ ὀφείλο-
μεν ποιῆσαι πεποιήκαμεν. καὶ ἐγένετο ἐν τῷ

a longe: et lazarum in
ſinu eius: et ipſe clamans dixit.
Pater abraã miſerere mei: et mitte la D
zarum ut intingat extremũ digiti ſui in
aquam ut refrigeret linguam
meam: quia crucior in hac flamma.
Et dixit illi abraã. Fili recordare quia
bona in vita tua: et lazarus recepiſti
ſimiliter mala. Nunc autẽ hic cõſolatur:
tu vero cruciaris. Et in his omnibus
inter nos et vos chaos magnũ firmatũ
eſt: ut hi qui volunt hinc tranſire
ad vos non poſſint: neque inde
huc tranſmeare. Et ait. Rogo
ergo te pater ut mittas eum in domũ
patris mei. Habeo enim quinque fratres:
ut teſtetur illis ne
et ipſi veniant in hunc locum
tormentorum. Et ait illi abraam. Habent
moyſen et prophetas: audiant
illos. At ille dixit. Non pater abraam:
ſed ſi quis ex mortuis ierit ad eos:
penitentiam agent. Ait autem illi. Si moyſen
et prophetas non audiunt: neque
ſi quis ex mortuis reſurrexerit credent.

Cap.17.

Et ait ad diſcipulos ſuos. Impoſſi A
bile eſt ut nõ veniant ſcandala. Ve Mat.18.a. Marci.9.f.
autem illi per quem veniunt. Utilius eſt illi ſi la
pis molaris imponatur circa collum eius:
et proiiciatur in mare: quam ut
ſcandalizet unum de puſillis iſtis. Attẽ
dite vobis. Si peccauerit in te frater Mat.18.c.
tuus: increpa illum: et ſi penitentiam egerit Luc.19.d. Eccle.19.a.
dimitte illi. Et ſi ſepties in die Mat.18.d.
peccauerit in te: et ſepties in die conuer
ſus fuerit ad te dicens penitet me: dimit
te illi. Et dixerunt apoſtoli domino. Adauge no
bis fidem. Dixit autem dominus. Si habue Mat.17.c.
ritis fidem ſicut granum ſinapis diceretis et 21.c.
huic arbori moro: eradicare et tranſplã Marci.11.c.
tare in mare: et obediet vobis. Quis autem
veſtrum habens ſeruum arantem aut paſcentem bo
ues qui regreſſo de agro dicat illi ſtatim
tranſi et recumbe: et non dicat ei
para quod cenem et precinge te et
miniſtra mihi donec manducem et bibam: et
poſt hec tu manducabis et bibes? Num B
quid gratiam habet ſeruo illi: quia fecit que ei impe
rauerat? Non puto. Sic et vos cum
feceritis omnia que precepta ſunt vobis di
cite: Serui inutiles ſumus. Quod debui
mus facere fecimus. Et factum eſt dum

Digitized by Google

πορεύεσθαι αυτόν εις ιερουσαλήμ, και αυ
τός διήρχετο διά μέσου σαμαρείας και γα=
λιλαίας. και εισερχομένου αυτού εις τινά
κώμην, απήντησαν αυτώ δέκα λεπροί άν=
δρες οι έστησαν πόρρωθεν, και αυτοί ήραν
φωνήν λέγοντες. ιησού επιστάτα ελέησον
ημάς. και ιδών είπεν αυτοίς. πορευθέντες ε=
πιδείξατε εαυτούς τοις ιερεύσι. και εγένετο
εν τω υπάγειν αυτούς εκαθαρίσθησαν. εις
δε εξ αυτών ιδών ότι ιάθη υπέστρεψε με=
τά φωνής μεγάλης δοξάζων τον θεόν, και
έπεσεν επί πρόσωπον παρά τους πόδας αυ
τού ευχαριστών αυτώ. και αυτός ην σαμα
ρείτης. αποκριθείς δε ο ιησούς είπεν. ουχί οι
δέκα εκαθαρίσθησαν, οι δε εννέα πού; ουχ
ευρέθησαν υποστρέψαντες δούναι δόξαν
τω θεώ ειμή ο αλλογενής ούτος. και είπεν
αυτώ. αναστάς πορεύου, η πίστις σου σέ
σωκε σε. επερωτηθείς δε υπό των φαρισαίων
πότε έρχεται η βασιλεία του θεού, απεκρίθη
αυτοίς και είπεν. ουκ έρχεται η βασιλεία
του θεού μετά παρατηρήσεως, ουδέ ερού=
σιν ιδού ώδε, ιδού εκεί. ιδού γαρ η βασι=
λεία του θεού εντός υμών εστίν. είπε δε και
προς τους μαθητάς. ελεύσονται ημέραι ό=
τε επιθυμήσετε μίαν των ημερών του υιού
του ανθρώπου ιδείν, και ουκ όψεσθε. και ε
ρούσιν υμίν ιδού ώδε, ιδού εκεί. μη απέλθη
τε μηδε διώξητε. ώσπερ γαρ η αστραπή η
αστράπτουσα εκ της υπουρανόν εις την υ
πουρανόν λάμπει, ούτως έσται ο υιός του
ανθρώπου εν τη ημέρα αυτού. πρώτον δε
δει αυτόν πολλά παθείν, και αποδοκιμασ
θήναι από της γενεάς ταύτης. και καθώς εγέ
νετο εν ταις ημέραις νώε, ούτως έσται και εν
ταις ημέραις του υιού του ανθρώπου. ήσθι
ον, έπινον, εγάμουν, εξεγαμίζοντο, άχρι ης
ημέρας εισήλθε νώε εις την κιβωτόν, και ήλ=
θεν ο κατακλυσμός και απώλεσεν άπαντας.
ομοίως και ως εγένετο εν ταις ημέραις λώτ
ήσθιον, έπινον, ηγόραζον, επώλουν, ε=
φύτευον, ωκοδόμουν, η δε ημέρα εξήλθε
λώτ από σοδόμων, έβρεξε πυρ και θεί
ον απ ουρανού, και απώλεσεν άπαν=
τας. κατά ταύτα έσται η ημέρα ο υιός του
ανθρώπου αποκαλύπτεται. εν εκείνη τη
ημέρα ος έσται επί του δώματος και τα
σκεύη αυτού εν τη οικία, μη καταβάτω ά=
ραι αυτά, και ο εν τω αγρώ, ομοίως μη επι
στρεψάτω εις τα οπίσω. μνημονεύετε της
γυναικός λωτ. ος εάν ζητήση την ψυχήν αυ
τού σώσαι, απολέσει αυτήν. και ος εάν απο
λέση αυτήν, ζωογονήσει αυτήν. λέγω υμίν,

iret in hieruſalem:
tranſibat per mediã ſamariã ⁊ galileã.
Et cum ingrederetur quoddam
caſtellũ: occurrerũt ei decẽ viri leproſi.
Qui ſteterũt a longe et leuauerunt
vocẽ dicentes. Jeſu preceptor miſerere
noſtri. Quos vt vidit dixit. Jte oſtẽdite
vos ſacerdotibus. Et factum eſt
dum irent: mundati ſunt. Unus Mat.8.a. Mar.1.g.
autẽ ex illis vt vidit q2 mũdat9 ẽ: re= ſup.5.c.
greſſus eſt cũ magna voce magnificans
cecidit ĩ faciẽ ante pedes ei9 deũ. Et
gratias agens. Et hic erat ſamaritan9.
Reſpondens aũt ieſus dixit. Nonne Leui.14.a.
decem mũdati ſũt ⁊ nouẽ vbi ſũt? Nõ
eſt inuẽt9 qui rediret ⁊ daret glĩaz
deo niſi hic alienigena. Et ait
illi. Surge vade: q2 fides tua te ſaluũ
fecit. Jnterrogatus autem a phariſeis
quando venit regnum dei: reſpondens
eis dixit. Non veniet regnum
dei cum obſeruatione: neq3 dicent
ecce hic aut ecce illic. Ecce eniz regnũ
dei intra vos eſt. Et ait
ad diſcipulos ſuos. Uenient dies qñ
deſideretis videre vnum diem filij
hominis et nõ videbitis. Et dicent
vobis. Ecce hic ⁊ ecce illic. Nolite ire: Mat.24.d Mar.13.c.
neq3 ſectemini. Nam ſicut fulgur
coruſcãs ſub celo in ea q̃ ſub celo ſũt
fulget: ita erit filius
hominis in die ſua. Primum autem
oportet illuz multa pati: et reprobari
a generatione hac. Et ſicut factũ eſt Mat.24.e.
in diebus noe: ita erit et in 1.Pe.3.d.
dieb9 filij hoīs. Edebãt ⁊ nuptias: vſq3
bibebãt: vxores ducebãt ⁊ dabãtur ad
in diem qua ĩtrauit noe ĩ arcã: et venit
diluuium et perdidit omnes.
Similiter ſicut factũ eſt in dieb9 loth.
Edebãt ⁊ bibebãt: emebãt ⁊ vẽdebant:
plãtabãt ⁊ edificabãt: q̃ die autem exijt
loth a ſodomis: pluit ignẽ et ſulphur
de celo ⁊ omnes pdidit.
Secundũ hec erit qua die filius
hominis reuelabitur. Jn illa
die qui fuerit in tecto et
vaſa ei9 in domo ne deſcẽdat tollẽ
illa et qui in agro ſimiliter non redeat Gene.19.c.
retro. Memores eſtote Mat.18.c.
vxoris loth. Quicũq3 queſierit aĩaz ſuã Mar.8.g.
ſaluã facere pdet illã. Et q̃cũq3 pdide
rit illã viuificabit eã. Dico vobis in

ταύτῃ τῇ νυκτί ἔσονται δύο ἐπί κλίνης μι-
ᾶς, εἷς παραληφθήσεται καὶ ὁ ἕτερος ἀφεθή-
σεται. δύο ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτό,
μία παραληφθήσεται, καὶ ἡ ἑτέρα ἀφεθήσε-
ται. δύο ἔσονται ἐν τῷ ἀγρῷ, ὁ εἷς παρα-
ληφθήσεται, καὶ ὁ ἕτερος ἀφεθήσεται. καὶ ἀ-
ποκριθέντες λέγουσιν αὐτῷ. ποῦ κύριε. ὁ
δὲ εἶπεν αὐτοῖς. ὅπου τὸ σῶμα, ἐκεῖ συνα-
χθήσονται καὶ οἱ ἀετοί. Cap.18.

Ἔλεγε δὲ καὶ παραβολὴν αὐτοῖς πρὸς
τὸ δεῖν πάντοτε προσεύχεσθαι καὶ μὴ
ἐκκακεῖν, λέγων. κριτής τις ἦν ἔν τινι πό-
λει τὸν θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον
μὴ ἐντρεπόμενος. χήρα δὲ ἦν ἐν τῇ πόλει ἐ-
κείνῃ, καὶ ἤρχετο πρὸς αὐτὸν λέγουσα. ἐκ-
δίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου, καὶ οὐκ
ἠθέλησεν ἐπὶ χρόνον. μετὰ δὲ ταῦτα εἶπεν
ἐν ἑαυτῷ. εἰ καὶ τὸν θεὸν οὐ φοβοῦμαι καὶ
ἄνθρωπον οὐκ ἐντρέπομαι, διά γε τὸ παρέ-
χειν μοι κόπον τὴν χήραν ταύτην ἐκδικήσω
αὐτήν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιά-
ζῃ με. εἶπε δὲ ὁ κύριος. ἀκούσατε τί ὁ κρι-
τὴς τῆς ἀδικίας λέγει. ὁ δὲ θεὸς οὐ μὴ ποιή-
σῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ τῶν
βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός,
καὶ μακροθυμῶν ἐπ' αὐτοῖς. ναὶ λέγω ὑ-
μῖν ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τά-
χει. πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν, ἆρα
εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς. εἶπε δὲ πρὸς
τινάς τοὺς πεποιθότας ἐφ' ἑαυτοῖς ὅτι εἰσί
δίκαιοι, καὶ ἐξουθενοῦντας τοὺς λοιποὺς
τὴν παραβολὴν ταύτην. ἄνθρωποι δύο ἀ-
νέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς φα-
ρισαῖος, καὶ ὁ ἕτερος τελώνης. ὁ φαρισαῖος
σταθεὶς, πρὸς ἑαυτὸν ταῦτα προσηύχετο.
ὁ θεὸς εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ
οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι
μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώνης. νηστεύ-
ω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅ-
σα κτῶμαι. καὶ ὁ τελώνης μακρόθεν ἑστὼς,
οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν
οὐρανὸν ἐπᾶραι. ἀλλ' ἔτυπτεν εἰς τὸ στῆ-
θος αὐτοῦ, λέγων. ὁ θεὸς ἱλάσθητί μοι τῷ
ἁμαρτωλῷ. λέγω ὑμῖν, κατέβη οὗτος δε-
δικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ γὰρ ἐ-
κεῖνος. ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθή-
σεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.
προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη, ἵνα αὐ-
τῶν ἅπτηται. ἰδόντες δὲ οἱ μαθηταὶ ἐπετίμη-
σαν αὐτοῖς. ὁ δὲ ἰησοῦς προσκαλεσάμενος
αὐτὰ, εἶπεν. ἄφετε τὰ παιδία ἔρχεσθαι πρὸς
με, καὶ μὴ κωλύετε αὐτά. τῶν γὰρ τοιού-
των ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ. ἀμὴν λέγω

illa nocte erunt duo in lecto vno: ꝏ
vn⁹ aſſumetur et alter relinquetur. ꝏ
Due erunt molentes in vnum: ꝏ Mat.24.f.
vna aſſumetur et altera relinquetur. ꝏ
Duo in agro: vnus aſſumetur ꝏ
et alter relinquetur. Reſpondentes ꝏ
dicunt illi. Ubi domine? Qui ꝏ
dixit illis. Ubicunq; fuerit corp⁹ illic cō- Mat.24.f.
gregabuntur et aquile. Cap.18.

Dicebat aūt et parabolā ad illos qm̄ A
oportet ſemper orare et non ꝏ Eccle.18.c. 1.Theſ.5.d
deficē: dicēs. Iudex q̄dā erat in q̄dā
ciuitate qui deū non timebat et hominē
nō reuerebat: vidua aūt q̄dā erat in ci-
uitate illa et veniebat ad eū dicens. Vin-
dica me de aduerſario meo: et nolebat
per multū tempus. Poſt hoc aūt dixit
intra ſe. Et ſi deum non timeo nec ꝏ
hominē reuereor: tamē quia moleſta ē
mihi hec vidua vindicabo ꝏ
illā: ne ī nouiſſimo veniēs ſuggillet ꝏ
me. Ait autem dñs. Audite quid iu-
dex iniquitatis dicit. Deus aūt non fa-
ciet vindictam electorum ſuorum ꝏ
clamantium ad ſe die ac nocte: ꝏ
et patiētiā hēbit in illis? Dico āt vobis
quia cito faciet vindictam illorum. ꝏ
Veruntamē filius hominis veniēs: putas
inueniet fidem in terra? Dixit aūt ad
quoſdam qui in ſe cōfidebant tanq̄ ꝏ
iuſti et aſpernabantur ceteros ꝏ
parabolā iſtam dicens. Duo hoies aſcē- ſup.2.f. Actuū.3.a.
debant in templū vt orarent: vn⁹ phari-
ſeus et alter publicanus. Phariſeus ꝏ B
ſtās hec apud ſe orabat. ꝏ
Deus grās ago tibi: qr nō ſum ſicut
ceteri hominū: raptores: iniuſti ꝏ
adulteri: velut etiam hic publican⁹. Ie-
iuno bis in ſabbato: decimas do oīm q̄
poſſideo. Et publicanus a longe ſtans Eccle.5.b. ſup.15.c.
nolebat nec oculos ad ꝏ
celum leuare: ſed percutiebat pectus ꝏ
ſuum dicēs. Deus propiti⁹ eſto mihi
pctōri. Dico vobis deſcendit hic iuſti-
ficatus in domum ſuam ab illo. ꝏ
Qr omnis qui ſe exaltat humiliabit: Mat.23.b.
et qui ſe humiliat exaltabitur. ꝏ
Afferebāt autē ad illū et īfantes: vt eos Mat.19.c
tāgeret. Qd cū viderēt diſcipuli īcrepa- Mar.10.b.
bant illos. Ieſus autem conuocans ꝏ
illos dixit. Sinite pueros venire ad
me et nolite vetare eos. Talium ꝏ
eſt enim regnum dei. Amen dico ꝏ

Digitized by Google

ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ
θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.
καὶ ἐπηρώτησέ τις αὐτὸν ἄρχων λέγων.
διδάσκαλε ἀγαθέ τί ποιήσας ζωὴν αἰώνι-
ον κληρονομήσω. εἶπε δὲ αὐτῷ ὁ ἰησοῦς. τί
με λέγεις ἀγαθόν. οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς
ὁ θεός. τὰς ἐντολὰς οἶδας. μὴ μοιχεύσῃς,
μὴ φονεύσῃς, μὴ κλέψῃς, μὴ ψευδομαρ-
τυρήσῃς, τίμα τὸν πατέρα σου καὶ τὴν μη
τέρα σου. ὁ δὲ εἶπε. ταῦτα πάντα ἐφυλαξά-
μην ἐκ νεότητός μου. ἀκούσας δὲ ταῦτα ὁ
ἰησοῦς εἶπεν αὐτῷ. ἔτι ἕν σοι λείπει. πάντα
ὅσα ἔχεις πώλησον καὶ διάδος πτωχοῖς,
καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο
ἀκολούθει μοι. ὁ δὲ ἀκούσας ταῦτα περί-
λυπος ἐγένετο. ἦν γὰρ πλούσιος σφόδρα.
ἰδὼν δὲ αὐτὸν ὁ ἰησοῦς περίλυπον γενόμε
νον, εἶπε. πῶς δυσκόλως οἱ τὰ χρήματα ἔ
χοντες εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ
θεοῦ. εὐκοπώτερον γάρ ἐστι κάμηλον διά
τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον
εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. εἶπον
δὲ οἱ ἀκούσαντες, καὶ τίς δύναται σωθῆ-
ναι. ὁ δὲ εἶπε τὰ ἀδύνατα παρὰ ἀνθρώποις
δυνατά ἐστι παρὰ τῷ θεῷ. εἶπε δὲ πέτρος
ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθή
σαμέν σοι. ὁ δὲ εἶπεν αὐτοῖς. ἀμὴν λέγω ὑ
μῖν ὅτι οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν, ἢ
γονεῖς ἢ ἀδελφούς, ἢ γυναῖκα, ἢ τέκνα ἕ-
νεκεν τῆς βασιλείας τοῦ θεοῦ, ὃς οὐ μὴ ἀπο
λάβῃ πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ,
καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.
παραλαβὼν δὲ τοὺς δώδεκα εἶπε πρὸς αὐ-
τούς. ἰδοὺ ἀναβαίνομεν εἰς ἱεροσόλυμα,
καὶ τελεσθήσεται πάντα τὰ γεγραμμένα διὰ
τῶν προφητῶν τῷ υἱῷ τοῦ ἀνθρώπου. πα
ραδοθήσεται γὰρ τοῖς ἔθνεσι, καὶ ἐμπαιχθή-
σεται, καὶ ὑβρισθήσεται, καὶ ἐμπτυσθήσεται
καὶ μαστιγώσαντες ἀποκτενοῦσιν αὐ-
τόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. καὶ
αὐτοὶ οὐδὲν τούτων συνῆκαν. καὶ ἦν τὸ ῥῆ
μα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐ
γίνωσκον τὰ λεγόμενα. ἐγένετο δὲ ἐν τῷ ἐγ
γίζειν αὐτὸν εἰς ἱεριχώ, τυφλός τις ἐκάθη-
το παρὰ τὴν ὁδὸν προσαιτῶν. ἀκούσας
δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο τί
εἴη τοῦτο. ἀπήγγειλαν δὲ αὐτῷ, ὅτι ἰησοῦς
ὁ ναζωραῖος παρέρχεται. καὶ ἐβόησε λέγων.
ἰησοῦ υἱὲ δαυίδ ἐλέησόν με. καὶ οἱ προάγον
τες ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ, αὐτὸς
δὲ πολλῷ μᾶλλον ἔκραζεν. υἱὲ δαυίδ ἐ-
λέησόν με. σταθεὶς δὲ ὁ ἰησοῦς ἐκέλευσεν

vobis: quicunq̃ non acceperit regnum
dei ſicut puer non intrabit in illud.
Et interrogauit eū quidā princeps dicēs
Magiſter bone quid faciens vitā eternā Mat.19.d. Mar.10.b.
poſſidebo? Dixit autē ei ieſus. Quid
me dicis bonū? Nemo bonus niſi ſolus C
deus. Mādata noſti. Nō occides nō Exo.20.b
mechaberis: nō furtū facies: nō falſū te Mat.19.d. Mar.10.c.
ſtimoniū dices: honora patrē tuū et ma
trem. Qui ait. Hec omnia cuſtodiui
a iuuentute mea. Quo audito:
ieſus ait ei. Adhuc vnū tibi deeſt. Omnia Mat.19.c.
quecūq̃ habes vende et da pauperibus: Mar.10.c.
et habebis theſaurū in celo: et veni
ſequere me. His ille auditis contriſta
tus eſt quia diues erat valde.
Uidens autē ieſus illum triſtem factum
dixit. Quā difficile qui pecunias habēt
in regnum dei intrabunt.
Facilius eſt enim camelum per Mat.19.f.
foramen acus tranſire: quā diuitem Mar.10.c.
intrare in regnū dei.
Et dixerūt qui audiebāt. Et quis pōt ſaluus
fieri? Ait illis. Que impoſſibilia ſūt apud Mat.19.f.
homines: poſſibilia ſūt apud deū. Ait autē Mar.10.d
petrus. Ecce nos dimiſimus oīa: et ſecu
ti ſumus te. Qui dixit eis. Amē dico vo Mat.19.g.
bis nemo eſt qui reliquit domum aut Mar.10.d.
parētes aut frēs aut vxorē aut filios p-
pter regnum dei: et non recipiat
multo plura in hoc tempore
et in ſeculo futuro vitam eternam.
Aſſumpſit autē ieſus duodecim et ait illis Mat.20.d
Ecce aſcendimus hieroſolymam: Mar.10.g
et conſūmabuntur oīa que ſcripta ſūt per
prophetas de filio hominis. Tradetur D
enim gentibus: et illudetur
et flagellabitur et
conſpuetur: et poſtq̃ flagellauerint occidēt eū:
et die tertia reſurget. Et
ipſi nihil horū intellexerūt. Et erat ver
bum iſtud abſconditū ab eis: et nō intelli
gebāt que dicebātur. Factū eſt autē cū ap Mat.20.g.
propinquaret hiericho: cecus quidā ſe- Mar.10.c.
debat ſecus viam mendicans. Et cū au
diret turbā pretereūtem: interrogabat quid
hoc eſſet. Dixerunt autem ei: quod ieſus
nazarenus tranſiret. Et clamauit dicēs
Jeſu fili dauid miſerere mei. Et qui prei Mat.20.g.
bāt increpabāt eū vt taceret: ipſe vero
multo magis clamabat. Fili dauid mi-
ſerere mei. Stans autem ieſus iuſſit

αυτόν αχθήναι προς αυτόν. εγγίσαντος δε
αυτού επηρώτησεν αυτόν λέγων. τι σοι θέ
λεις ποιήσω. ο δε είπε. κύριε ίνα αναβλέψω.
και ο ιησούς είπεν αυτώ. ανάβλεψον. η πίσ
τις σου σέσωκε σε. και παραχρήμα ανέβλε=
ψε, και ηκολούθει αυτώ δοξάζων τον θεόν.
και πας ο λαός ιδών έδωκεν αίνον τω
θεώ. Cap.19.
Και εισελθών διήρχετο την ιεριχώ. και ι
δού ανήρ ονόματι καλούμενος ζακχαί
ος, και αυτός ην αρχιτελώνης, και ούτος ην
πλούσιος. και εζήτει ιδείν τον ιησούν τις εσ
τί. και ουκ ηδύνατο από του όχλου, ότι τη
ηλικία μικρός ην. και προσδραμών έμπρο=
σθεν ανέβη επί συκομωρέαν ίνα ίδη αυτόν,
ότι εκείνης έμελλε διέρχεσθαι. και ως ήλ=
θεν επί τον τόπον, αναβλέψας ο ιησούς είδεν
αυτόν, και είπε προς αυτόν. ζακχαίε σπεύ
σας κατάβηθι, σήμερον γαρ εν τω οίκω σου
δει με μείναι. και σπεύσας κατέβη, και υπε=
δέξατο αυτόν χαίρων. και ιδόντες πάντες
διεγόγγυζον λέγοντες, ότι παρά αμαρτω
λώ ανδρί εισήλθε καταλύσαι. σταθείς δε
ζακχαίος είπε προς τον κύριον. ιδού τα η=
μίση των υπαρχόντων μου κύριε δίδωμι
τοις πτωχοίς, και ει τινός τι εσυκοφάντη=
σα αποδίδωμι τετραπλούν. είπε δε προς
αυτόν ο ιησούς. ότι σήμερον σωτηρία τω οί
κω τούτω εγένετο, καθότι και αυτός υιός α
βραάμ εστίν. ήλθε γαρ ο υιός του ανθρώ=
που ζητείσαι και σώσαι το απολωλός. ακου
όντων δε αυτών ταύτα, προσθείς είπε παρα
βολήν διά το εγγύς αυτόν είναι ιερουσαλήμ
και δοκείν αυτούς ότι παραχρήμα μέλλει
η βασιλεία του θεού αναφαίνεσθαι. είπεν
ουν. άνθρωπος τις ευγενής επορεύθη εις
χώραν μακράν λαβείν εαυτώ βασιλείαν και
υποστρέψαι. καλέσας δε δέκα δούλους ε=
αυτού έδωκεν αυτοίς δέκα μνάς, και είπε
προς αυτούς. πραγματεύσασθε έως έρχο
μαι. οι δε πολίται αυτού εμίσουν αυτόν.
και απέστειλαν πρεσβείαν οπίσω αυτού λέ
γοντες. ου θέλομεν τούτον βασιλεύσαι εφ
ημάς. και εγένετο εν τω επανελθείν αυτόν
λαβόντα την βασιλείαν, είπε φωνηθήναι αυ
τώ τους δούλους τούτους οις έδωκε το
αργύριον, ίνα γνω τις τι διεπραγμα=
τεύσατο. παρεγένετο δε ο πρώτος λέ=
γων. κύριε η μνα σου προσειργάσατο δέκα
μνας. και είπεν αυτώ. ευ αγαθέ δούλε, ό
τι εν ελαχίστω πιστός εγένου ίσθι εξουσίαν έ
χων επάνω δέκα πόλεων. και ήλθεν ο δεύτε

illū adduci ad ſe. Et cū appropinqͣſſet:
iterrogauit illū dicens. Quid tibi vis
faciā? At ille dixit. Dñe vt videam.
Et ieſus dixit ei. Reſpice. Fides Mat.9.e.
tua ſaluum te fecit. Et confeſtim vidit Mar.5.f.
⁊ ſequebatur illum magnificans deum.
Et omnis plebs vt vidit dedit laudeꝫ
deo. Cap.19.
ET egreſſ9 pãbulabat hiericho. Et A
vir nomine zacheus ecce
et hic princeps erat publicanoꝝ et ipſe
diues. Et querebat vidẽ ieſū quis eſſet
⁊ non poterat pre turba: quia
ſtatura puſillus erat. Et precurrens
aſcēdit in arborē ſycomoꝝ vt videret eū
quia inde erat tranſiturus. Et cū ve
niſſet ad locum: ſuſpiciens ieſus vidit
illū et dixit ad illū. Zachee feſtinās
deſcende: quia hodie in domo tua
opꝫ me manē. Et feſtinās deſcēdit ⁊ ex
cepit illum gaudens. Et cum viderent
murmurabant dicentes ꝙ ad omnes
hominē pctōꝛeꝫ diuertiſſet. Stans aūt
zacheus dixit ad ieſum. Ecce dimidiū
bonoꝛum meoꝛum domine do
pauperib9: ⁊ ſi quid aliquē defrauda=
ui reddo quadruplum. Ait ieſus ad
eum. Quia hodie ſal9 domui huic fa
cta eſt eo ꝙ et ipſe filius ſit abrae.
Venit enim filius hominis Mat.15.c.
querere et ſaluum facere quod ꝑierat.
Hec illis audientib9 adijciens dixit ꝑa
bolam eo ꝙ eſſet prope hieruſalem
⁊ quia exiſtimarent ꝙ confeſtim
regnum dei manifeſtaretur. Dixit Mat.25.b.
ergo. Homo quidam nobilis abijt in Mar.13.g.
regionē longiquā accipere ſibi regnū et
reuerti. Vocatis autēꝫ decē ſeruis ſuis
dedit eis decem mnas et ait
ad illos. Negociamini dum venio.
Ciues autem eius oderant eum:
et miſerunt legationeꝫ poſt illū dicenteſ B
Nolumus hunc regnare ſuper
nos. Et factum eſt vt rediret
accepto regno: ⁊ iuſſit vocari
ſeruos quibus dedit
pecuniā: vt ſciret quātū quiſqꝫ negociat9
eſſet. Venit autem primus dicens.
Domine mna tua decē mnas acqͥſiuit.
Et ait illi. Euge bone ſerue: Mat.25.d.
qꝛ i modico fuiſti fidelis: eris poteſtatē
hñs ſupra decē ciuitateſ. Et alter vēit

Digitized by Google

ρος λέγων. κύριε ἡ μνᾶ σου ἐποίησε πέντε
μνᾶς. εἶπε δὲ καὶ τούτῳ. καὶ σὺ γίνου ἐπά
νω πέντε πόλεων. καὶ ὁ ἕτερος ἦλθε λέγων.
κύριε ἰδοὺ ἡ μνᾶ σου ἣν εἶχον ἀποκειμέ=
νην ἐν σουδαρίῳ. ἐφοβούμην γάρ σε ὅτι ἄν
θρωπος αὐστηρὸς εἶ. αἴρεις ὃ οὐκ ἔθηκας, καὶ
θερίζεις ὃ οὐκ ἔσπειρας. λέγει δὲ αὐτῷ. ἐκ
τοῦ στόματός σου κρινῶ σε πονηρὲ δοῦ=
λε. ᾔδεις ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι,
αἴρων ὃ οὐκ ἔθηκα, καὶ θερίζων ὃ οὐκ ἔσ=
πειρα. καὶ διά τι οὐκ ἔδωκας τὸ ἀργύριον
μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ σὺν
τόκῳ ἂν ἔπραξα αὐτό. καὶ τοῖς παρεστῶ
σιν εἶπεν. ἄρατε ἀπ᾽ αὐτοῦ τὴν μνᾶν, καὶ δό
τε τῷ τὰς δέκα μνᾶς ἔχοντι. καὶ εἶπον αὐτῷ.
κύριε ἔχει δέκα μνᾶς. λέγω γὰρ ὑμῖν ὅτι
παντὶ τῷ ἔχοντι δοθήσεται, ἀπὸ δὲ τοῦ μὴ
ἔχοντος, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ.
πλὴν τοὺς ἐχθρούς μου ἐκείνους τοὺς μὴ θε
λήσαντάς με βασιλεῦσαι ἐπ᾽ αὐτούς, ἀγά=
γετε ὧδε, καὶ κατασφάξατε ἔμπροσθέν μου.
καὶ εἰπὼν ταῦτα ἐπορεύετο ἔμπροσθεν, ἀ=
ναβαίνων εἰς ἱεροσόλυμα. καὶ ἐγένετο ὡς
ἤγγισεν εἰς βηθσφαγὴ καὶ βηθανίαν πρὸς τὸ
ὄρος τὸ καλούμενον ἐλαιῶν, ἀπέστειλε δύ
ο τῶν μαθητῶν αὐτοῦ εἰπών. ὑπάγετε εἰς
τὴν κατέναντι κώμην. ἐν ᾗ εἰσπορευόμενοι,
εὑρήσετε πῶλον δεδεμένον, ἐφ᾽ ὃν οὐδεὶς
πώποτε ἀνθρώπων ἐκάθισε. λύσαντες αὐ
τὸν ἀγάγετε. καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, διά τι
λύετε, οὕτως ἐρεῖτε αὐτῷ. ὅτι ὁ κύριος αὐ=
τοῦ χρείαν ἔχει. ἀπελθόντες δὲ οἱ ἀπεσταλ
μένοι, εὗρον καθὼς εἶπεν αὐτοῖς. λυόντων
δὲ αὐτῶν τὸν πῶλον, εἶπον οἱ κύριοι αὐ=
τοῦ πρὸς αὐτούς. τί λύετε τὸν πῶλον. οἱ
δὲ εἶπον. ὁ κύριος αὐτοῦ χρείαν ἔχει. καὶ
ἤγαγον αὐτὸν πρὸς τὸν ἰησοῦν. καὶ ἐπιρ=
ρίψαντες ἑαυτῶν τὰ ἱμάτια ἐπὶ τὸν πῶλον,
ἐπεβίβασαν τὸν ἰησοῦν. πορευομένου δὲ αὐ
τοῦ, ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ
ὁδῷ. ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ
καταβάσει τοῦ ὄρους τῶν ἐλαιῶν ἤρξαντο ἅ
παν τὸ πλῆθος τῶν μαθητῶν χαίροντες αἰ=
νεῖν τὸν θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν
εἶδον δυνάμεων λέγοντες. εὐλογημένος ὁ
ἐρχόμενος βασιλεὺς ἐν ὀνόματι κυρίου. εἰ
ρήνη ἐν οὐρανῷ, καὶ δόξα ἐν ὑψίστοις. καὶ
τινὲς τῶν φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον
πρὸς αὐτόν. διδάσκαλε. ἐπιτίμησον τοῖς
μαθηταῖς σου. καὶ ἀποκριθεὶς εἶπεν αὐ=
τοῖς. λέγω ὑμῖν, ὅτι ἐὰν οὗτοι σιωπή=
σωσιν, οἱ λίθοι κεκράξονται. καὶ ὡς ἤ=
γγισεν ἰδὼν τὴν πόλιν ἔκλαυσεν ἐπ᾽ αὐ=
τῇ λέγων. ὅτι εἰ ἔγνως καὶ σὺ καὶ γε

dicens. Domine mna tua fecit quinq̃
mnas. Et huic ait. Et tu eſto ſuper
quinq̃ ciuitates. Et alter venit dicẽs.
Dñe ecce mna tua quã habui repoſitã
in ſudario. Timui enim te quia homo
auſterus es: tollis quod nõ poſuiſti: ⁊
metis qđ non ſeminaſti. Dixit ei. De
ore tuo iudico te ſerue nequam.
Sciebas q̃ ego homo auſterus ſum:
tollẽs qđ nõ poſui: ⁊ metẽs qđ nõ ſe=
minaui. Et quare non dediſti pecuniã
meam ad menſam: et ego veniens cum
vſuris vtiq̃ exegiſſẽ illđ. Et aſtãtib⁹
dixit. Afferte ab illo mnã: ⁊ date
illi qui decẽ mnas hꝫ. Et dixerũt ei.
Dñe hꝫ decẽ mnas. Dico aũt vobis q̃
oĩ hñti dabit̃ ⁊ abũdabit: ab eo aũt q̇
nõ habet et quod hꝫ auferetur ab eo. — Mat. 25. b. 7. 25. c. Mar. 4. c. ſup. 8. c.
Veruntamen inimicos meos illos qui
noluerunt me regnare ſuper ſe: adduci
te huc: et interficite ante me. — C
Et his dictis precedebat aſcendens
hieroſolymam. Et factum eſt cum
appropinq̃ſſet ad bethphage ⁊ bethaniã — Mat. 21. a. Mar. 11. a. Joh. 12. b.
mõtẽ q̇ vocat̃ oliueti: miſit duos
diſcipulos ſuos dicens. Jte in — Mat. 21. a. Mar. 11. a.
caſtellũ qđ cõtra vos ẽ. Jn qđ itroeũtes
iuenietis pullũ aſine alligatũ: cui nemo
vnq̃ hominum ſedit. Soluite illum et
adducite. Et ſi q̇s vos iterrogauerit q̃
re ſoluitis: ſic dicetis ei. Q2 dominus
operã ei⁹ deſiderat. Abierũt aũt q̇ miſſi
erãt: ⁊ iuenerũt ſicut dixit illis ſtãtẽ pul
lũ. Soluẽtib⁹ aũt illis pullũ dixerũt dñi ei⁹
ad illos. Quid ſoluitis pullum?
At illi dixerũt. Q2 dñs eũ neceſſariũ hꝫ.
Duxerũt illũ ad ieſũ. Et iactãtes Et
veſtimenta ſua ſupra pullum:
impoſuerunt ieſum. Eunte autem illo — Mat. 21. a. Mar. 11. b. Johã. 12. b.
ſubſternebant veſtimenta ſua in
via. Et cum appropinquaret iam ad
deſcenſũ mõtis oliueti: ceperũt omnes
turbe deſcendentium gaudẽtes laudare
deum voce magna ſuper omnib⁹ quas
viderant virtutibus dicentes. Bñdict⁹ — D
qui venit rex in noĩe domini. Pax
in celo et gloria in excelſis. Et — Mar. 11. c.
quidã phariſeorum de turbis dixerunt
ad illum. Magiſter increpa
diſcipulos tuos. Quibus ipſe ait.
Dico vobis quia ſi hi tacuerint:
lapides clamabũt. Et vt appropinq̃uit — Abach. 2. c.
videns ciuitatem fleuit ſuper illam
dicens. Q2 ſi cognouiſſes et tu et q̇dẽ

ἐν τῇ ἡμέρᾳ σου ταύτῃ τὰ πρὸς εἰρήνην σου,
νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου. ὅτι ἥ-
ξουσιν ἡμέραι ἐπὶ σε, καὶ περιβαλοῦσιν οἱ
ἐχθροί σου χάρακά σοι, καὶ περικυκλώσου-
σί σε, καὶ συνέξουσι σε πάντοθεν, καὶ ἐδαφι-
οῦσί σε, καὶ τὰ τέκνα σου ἐν σοί. καὶ οὐκ ἀ-
φήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ, ἀνθ᾽ ὧν οὐκ
ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου. καὶ εἰ-
σελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς
πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας, λέ-
γων αὐτοῖς. γέγραπται, ὁ οἶκός μου οἶκος
προσευχῆς ἐστίν. ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε
σπήλαιον λῃστῶν. καὶ ἦν διδάσκων τὸ κα-
θημέραν ἐν τῷ ἱερῷ. οἱ δὲ ἀρχιερεῖς καὶ οἱ
γραμματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι καὶ
οἱ πρῶτοι τοῦ λαοῦ, καὶ οὐχ εὕρισκον τὸ τί
ποιήσουσιν. ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο
αὐτοῦ ἀκούων. Cap. 20.

Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων δι-
δάσκοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ
καὶ εὐαγγελιζομένου, ἐπέστησαν οἱ ἀρχιε-
ρεῖς καὶ οἱ γραμματεῖς σὺν τοῖς πρεσβυτέ-
ροις, καὶ εἶπον πρὸς αὐτὸν λέγοντες. εἰπὲ ἡ-
μῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς. ἢ τίς ἐσ-
τιν ὁ δοὺς σοι τὴν ἐξουσίαν ταύτην. ἀποκρι-
θεὶς δὲ εἶπε πρὸς αὐτούς. ἐρωτήσω ὑμᾶς κα-
γὼ ἕνα λόγον, καὶ εἴπατέ μοι. τὸ βάπτισμα
ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων. οἱ
δὲ συνελογίσαντο πρὸς ἑαυτοὺς λέγοντες.
ὅτι ἐὰν εἴπωμεν ἐξ οὐρανοῦ, ἐρεῖ διὰ τί οὐκ
ἐπιστεύσατε αὐτῷ. ἐὰν δὲ εἴπωμεν ἐξ ἀν-
θρώπων, πᾶς ὁ λαὸς καταλιθάσει ἡμᾶς. πε-
πεισμένος γάρ ἐστιν ἰωάννην προφήτην εἶναι.
καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν. καὶ ὁ ἰη-
σοῦς εἶπεν αὐτοῖς. οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν
ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. ἤρξατο δὲ πρὸς
τὸν λαὸν λέγειν τὴν παραβολὴν ταύτην. ἄν-
θρωπος ἐφύτευσεν ἀμπελῶνα, καὶ ἐξέδοτο
αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε χρόνους
ἱκανούς, καὶ ἐν καιρῷ ἀπέστειλε πρὸς τοὺς
γεωργοὺς δοῦλον ἵνα ἀπὸ τοῦ καρποῦ
τοῦ ἀμπελῶνος δῶσιν αὐτῷ. οἱ δὲ γεωρ-
γοὶ δείραντες αὐτὸν ἐξαπέστειλαν κενόν. καὶ
προσέθετο πέμψαι ἕτερον δοῦλον. οἱ δὲ
κἀκεῖνον δείραντες καὶ ἀτιμάσαντες, ἐξαπέ-
στειλαν κενόν. καὶ προσέθετο πέμψαι τρίτον.
οἱ δὲ καὶ τοῦτον τραυματίσαντες ἐξέβαλον.
εἶπε δὲ ὁ κύριος τοῦ ἀμπελῶνος. τί ποιήσω.
πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν, ἴσως
τοῦτον ἰδόντες ἐντραπήσονται. ἰδόντες
Ταύτην ἐπιστέλλει ἀπὸ ῥώμης οὔπω μὲν αὐτοὺς ἑωρακώς, ἀκούσας δὲ περὶ αὐτῶν. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. ἐφέσιοι πιστεύσαντες εἰς τὸν κύριον ἡμῶν ἰησοῦν χριστόν, γνησίαν ἔσχον εἰς αὐτὸν τὴν πίστιν, καὶ εἰς πάντας τοὺς ἁγίους τὴν ἀγάπην καὶ ἐβούλοντο παρὰ τοῦ ἀποστόλου βεβαιωθῆναι. μαθὼν τοίνυν ὁ παῦλος γράφει πρὸς αὐτοὺς ταύτην τὴν ἐπιστολήν, ὥσπερ κατηχητικήν. καὶ πρῶτον μὲν δείκνυσι μὴ νεώτερον εἶναι τὸ καθ᾽ ἡμᾶς μυστήριον. ἀλλ᾽ ἐξ ἀρχῆς καὶ πρὸ καταβολῆς κόσμου εἶναι ταύτην εὐδοκίαν τοῦ θεοῦ, ὥστε τὸν χριστὸν ὑπὲρ ἡμῶν παθεῖν καὶ ἡμᾶς σωθῆναι. ἔπειτα δὲ περὶ κλήσεως τῶν ἐθνῶν διαλέγεται. ἵνα δείξῃ ἀξίως αὐτοὺς πεπιστευκέναι, καὶ ἀποδείκνυσιν ὅτι ἡ κλῆσις ἡμῶν γέγονεν οὐ δι᾽ ἀνθρώπου ἀλλὰ διὰ τοῦ χριστοῦ ὅς ἐστιν υἱὸς τοῦ θεοῦ ἵνα ἐκ τούτου μάθωσιν, ὅτι οὐκ ἀνθρωπολάτραι γεγόνασι πιστεύσαντες τῷ χριστῷ ἀλλὰ ἀληθινοὶ θεοσεβεῖς. σημαίνει δὲ καὶ ἑαυτὸν διὰ τοῦτο ἀπεστάλθαι κηρύσσειν τὸ εὐαγγέλιον καὶ ὅτι καὶ περὶ αὐτῶν ἐφρόντιζεν. ἔπειτα παραινετικοὺς λόγους ἀνδράσι καὶ γυναιξί, πατράσι καὶ τέκνοις, κυρίοις καὶ δούλοις τίθησιν ἐν τῇ ἐπιστολῇ. καὶ καθόλου πάντας παρασκευάζει κατὰ τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ, πρὸς ἐκείνους ἡμῖν εἶναι λέγων τὴν πάλην. καὶ ὥσπερ ἀγαθὸς ἀλείπτης ἀλείψας τοῖς λόγοις πάντας κατὰ τῆς διαβολικῆς ἐνεργείας, οὕτω τελειοῖ τὴν ἐπιστολήν. θεοδωρίτου.

Ἡ ἔφεσος μητρόπολις μέν ἐστι τῆς ἀσίας, τὴν δὲ ἄρτεμιν ἔσεβε, καὶ τοσοῦτον ἦν τὸ σέβας περὶ τὴν δαίμονα ὡς καὶ νεωκόρον τὴν ἔφεσον τῆς ἀρτέμιδος ἀναγορεύεσθαι ὡς ἐν ταῖς πράξεσιν ἱστόρηται. ἐν ταύτῃ τῇ ἐφέσῳ ὁ εὐαγγελιστὴς ἰωάννης ἐξορισθεὶς διέτριψε πολλά ἐν ᾗ καὶ τελευτᾷ, καὶ τὸν τιμόθεον παῦλος ἐκεῖσε ἐπίσκοπον ἐχειροτόνησε. τῶν δὲ φιλοσόφων οἱ κατὰ τὴν ἀσίαν ἀνθοῦντες ἐν τῇ ἐφέσῳ μάλιστα διῆγον. διὸ πολλῇ σπουδῇ κέχρηται πρὸς αὐτοὺς γράφων. καὶ τὰ βαθύτερα δὲ τῶν νοημάτων αὐτοῖς ἐπιστέλλει, ἅτε κατηχημένοις καὶ τὰ ὑψηλά. γράφει δὲ ἀπὸ ῥώμης τὴν ἐπιστολὴν ἐν δεσμοῖς ὑπάρχων.

ὑπόθεσις τῆς πρὸς φιλιππησίους ἐπιστολῆς.

Ταύτην ἐπιστέλλει ἀπὸ ῥώμης ἑωρακὼς αὐτοὺς ἅμα καὶ διδάξας. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. πεμψάντων φιλιππησίων διακονίαν τῷ παύλῳ καὶ τινῶν περιερχομένων καὶ διαφθειρόντων τὰς ἀκοὰς τῶν ἀκεραιοτέρων προφάσει τῆς σκιᾶς τοῦ νόμου καὶ τῆς περιτομῆς, καὶ λεγόντων χωρὶς ταύτης μὴ δύνασθαι δικαιωθῆναι, μαθὼν ὁ ἀπόστολος γράφει φιλιππησίοις. καὶ πρῶτον μὲν ἀποδέχεται αὐτῶν τὴν πίστιν, καὶ σημαίνει μνημονεύειν αὐτῶν. ἔπειτα δὲ διηγεῖται ὡς ἀπελογήσατο ἐν ῥώμῃ, καὶ ὅτι τινὲς αὐτῷ βαρεῖς γεγόνασιν ἐν τοῖς δεσμοῖς φθόνον αὐτῷ κινοῦντες. ἔπειτα αὐτοὺς προτρέπεται ἀλλήλους ἀγαπᾶν, ἐξηγούμενος τὴν τοῦ σωτῆρος φιλανθρωπίαν, ὅτι θεὸς ὤν, ἄνθρωπος γέγονε δι᾽ ἡμᾶς. εἶτα περὶ τῆς περιτομῆς καὶ τοῦ παλαιοῦ νόμου διαλαβών, ἀποδεικνύει ἀργὴν γεγενῆσθαι λοιπὸν τὴν περιτομήν. λαμβάνων ἀφ᾽ ἑαυτοῦ τὸ παράδειγμα καὶ λέγων, ὅτι ταῦτα πάντα ἥγημαι διὰ τὸν χριστὸν ζημίαν. διὸ καὶ τοὺς μὲν διδάσκοντας ἔτι περιτομὴν, καὶ θέλοντας αὐτοὺς ἀπατῆσαι μεμψάμενος, καὶ εἰπὼν ἐχθροὺς αὐτοὺς εἶναι τοῦ χριστοῦ ἀποδέχεται φιλιππησίους διὰ τὴν πρὸς αὐτὸν τῆς κοινωνίας δόσιν, καὶ προτρεψάμενος πάλιν εἰς τὰ ἤθη αὐτούς, τελειοῖ τὴν ἐπιστολήν. θεοδωρίτου.

Οἱ φιλιππήσιοι, τῆς μακεδονίας ἦσαν ὑπὸ μητρόπολιν θεσσαλονίκης. πολλὰ δὲ αὐτοῖς ὁ παῦλος χρηστὰ μαρτυρεῖ. ἐν δεσμοῖς δὲ ὤν, ἔγραψε τὴν ἐπιστολήν. μετὰ γὰρ τὴν πρώτην ἀπολογίαν ἧς ἐμνήσθη ἐν τῇ πρὸς τιμόθεον, αὖθις ἐδέθη. ἦσαν δὲ οἱ φιλιππήσιοι διὰ ἐπαφροδίτου τὰ πρὸς τὴν χρείαν πέμψαντες αὐτῷ, ἐν τ᾽ αὐτῷ καὶ γνωσόμενοι τὰ κατ᾽ αὐτόν. ἐπειδὴ δὲ ἐθορυβοῦντο ἀκούοντες ἐν δεσμοῖς εἶναι τὸν διδάσκαλον, αὐτὸ τοῦτο γράφει αὐτοῖς· ὡς τὰ δεσμὰ οὐ θορύβου πρόξενα, χαρᾶς δὲ μᾶλλον ὤφειλεν εἶναι διὰ τὸ ὑπὲρ χριστοῦ εἶναι. καθάπτεται δὲ καὶ τῶν ἰουδαίων, οἵτινες ἐν προσχήματι χριστιανισμοῦ διέφθειρον τὸ κήρυγμα. μετὰ τιμῆς δὲ φαίνεται γράφειν τοῖς φιλιππησίοις, ἐνάρετοι γὰρ ἦσαν. ἐνταῦθα ἦν ἡ πορφυρόπολις. ἐνταῦθα ὁ ἀρχισυνάγωγος ἐπίστευσεν. ἐνταῦθα ἐτυπτέσθην μετὰ τοῦ σιλουανοῦ ὁ παῦλος ὑπὸ τῶν στρατηγῶν, οἱ ἐκ συναρπαγῆς αὐτὸν τυπτήσαντες, τέλος ἀπελογήσαντο. ἐνταῦθα ὁ δεσμοφύλαξ πιστεύσας ἐν τῷ οἴκῳ αὐτοῦ ἐβαπτίσθη. ταῦτα πάντα αἱ πράξεις φασί. μαρτυρεῖ δὲ αὐτοῖς πίστιν, καὶ κινδύνους ὑπὲρ αὐτῆς, καὶ πρὸς εὐποιΐαν ἐπιρρεπῶς ἔχειν. διὰ πάντα σφόδρα φιλῶν αὐτοὺς φαίνεται.

### ὑπόθεσις τῆς πρὸς κολασσαεῖς ἐπιστολῆς.

Ταύτην ἐπιστέλλει ἀπὸ ῥώμης, οὐχ ἑωρακὼς μὲν αὐτούς, ἀκούσας δὲ περὶ αὐτῶν. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς, αὕτη. τοὺς κολασσαεῖς ἐβούλοντο τινὲς ἀπατῆσαι σοφίσμασιν ἑλληνικοῖς κατὰ τῆς εἰς χριστὸν πίστεως. καὶ περὶ τῶν ἐν νόμῳ βρωμάτων καὶ περιτομῆς. ταῦτα τοίνυν μαθὼν ὁ ἀπόστολος γράφει τὴν ἐπιστολὴν ὥσπερ κατηχητικὴν αὐτοῖς ταύτην. καὶ πρῶτον μὲν εὐχαριστῶν τῷ θεῷ, σημαίνει ἀπὸ τοῦ σκότους αὐτοὺς μεταβεβηκέναι εἰς τὸ φῶς τῆς ἀληθείας. καὶ ὅτι ὁ χριστὸς εἰς ὃν ἐπίστευσαν, εἰκὼν ἐστι τοῦ θεοῦ καὶ λόγος δι᾽ οὗ τὰ πάντα γέγονε. καὶ ὅτι ἔπρεπεν αὐτὸν δημιουργὸν ὄντα, γενέσθαι αὐτὸν καὶ πρωτότοκον τῆς κτίσεως, καὶ πρωτότοκον ἐκ τῶν νεκρῶν, ἵνα τὰ ἀμφότερα συνάψῃ, καὶ ζωοποιήσῃ τὰ πάντα. προτρέπει δὲ αὐτοὺς ἐμμένειν τῇ πίστει, σημαίνων ὅτι αὐτὸς ὁ παῦλος διάκονός ἐστι τοῦ εὐαγγελίου ἐν ᾧ κατηχήθησαν. εἶτα καὶ περὶ τοῦ νόμου καὶ τῶν ἐν αὐτῷ βρωμάτων καὶ περὶ ἡμερῶν καὶ ἐνιαυτῶν ἐξηγεῖται, καὶ ἀποδείκνυσιν ἠργηκέναι λοιπὸν τὰ παλαιὰ καὶ τὴν περιτομήν. συμβουλεύει τε αὐτοῖς μὴ πλανᾶσθαι ἀπὸ τῶν σοφιζομένων, καὶ πλανᾶν αὐτοὺς θελόντων. καὶ λοιπὸν παραινέσας καὶ ὧδε γονεῦσι καὶ τέκνοις ἀνδράσι καὶ γυναιξὶ δούλοις καὶ κυρίοις, καὶ τὰ ἄλλα τὰ πρὸς τὰ ἤθη συμβουλεύσας, τελειοῖ τὴν ἐπιστολήν. παραγγέλλει δὲ αὐτοῖς, ἵνα ὅταν ἀναγνωσθῇ παρ᾽ αὐτοῖς ἡ ἐπιστολή, ποιήσωσι καὶ ἐν τῇ λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῆναι. καὶ τὴν ἐκ λαοδικείας, εἰς αὐτοὺς ἀναγνωσθῆναι.

### θεοδωρίτου.

Ἐν πολλοῖς ὁ ἀπόστολος δηλοῖ τὴν πρὸς τὸν θεὸν καὶ πατέρα μεσιτείαν καὶ καταλλαγὴν τοῖς ἀνθρώποις διὰ τοῦ υἱοῦ γεγονέναι. εἷς γὰρ θεός φησιν, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος ἰησοῦς χριστός. καὶ πάλιν. δι᾽ οὗ φησὶ τὴν καταλλαγὴν ἐσχήκαμεν καὶ ὁ κύριος θύραν ἑαυτὸν καὶ ὁδὸν καλεῖ. οὐ γὰρ ἑτέρως εἰ μὴ δι᾽ αὐτοῦ καὶ ἐν αὐτῷ ἀπέλθοι τις πρὸς τὸν πατέρα. διὰ τοῦτο γὰρ ὢν θεὸς καὶ ἄνθρωπος γέγονεν, ἵνα θεῷ καὶ ἀνθρώποις μεσιτεύσῃ τοῦτό τε ὢν κἀκεῖνο. ἀλλ᾽ οἱ κολασσαεῖς ὑπὸ ἀγγέλου ᾤοντο τὴν προσαγωγὴν γενέσθαι πρὸς τὸν πατέρα, καὶ οὐ διὰ χριστοῦ. ἔπειτα πολλὰς εἶχον παρατηρήσεις ἰουδαϊκὰς καὶ ἑλληνικάς, ἡμέρας παρατηρούμενοι καὶ καιροὺς καὶ ὅσα τοιαῦτα. ἅτινα πάντα γράφων τὴν ἐπιστολὴν διορθοῦται ὁ παῦλος.

### ὑπόθεσις τῆς πρὸς θεσσαλονικεῖς πρώτης ἐπιστολῆς.

Ταύτην ἐπιστέλλει ἀπὸ ἀθηνῶν, ἑωρακὼς πρότερον αὐτοὺς καὶ διατρίψας παρ᾽ αὐτοῖς. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς, αὕτη. ὁ ἀπόστολος πολλὰς θλίψεις παθὼν ἐν βεροίᾳ καὶ ἐν φιλίπποις τῆς μακεδονίας καὶ ἐν κορίνθῳ, γινώσκων τε καὶ ὅσα πέπονθεν ἐν θεσσαλονίκῃ, φοβούμενοις μὴ ἀκούσαντες θεσσαλονικεῖς ἃ πέπονθεν ἐν ταῖς προειρημέναις πόλεσι, πειρασθῶσιν ὑπὸ τοῦ πειράζοντος καὶ σκανδαλισθῶσι, μαθὼν δὲ ὅτι καὶ τοῖς ἀποθνήσκουσι κατώδυνοι ἐγίνοντο, ἀποστέλλει τιμόθεον

πρὸς αὐτοὺς μετὰ τῆς ἐπιστολῆς ταύ-
της. καὶ πρῶτον μὲν, ἐπιστηρίζει αὐτοὺς
ἐν τῇ πίστει ὥστε μὴ σαλεύεσθαι διὰ
τὰς θλίψεις. καὶ μηδὲν ξένον αὐτοὺς πε-
πονθέναι ὑπὸ τῶν ἰουδαίων τῶν καὶ
τὸν κύριον ἀποκτεινάντων. χριστιανῶν
γὰρ ἴδιον τὸ θλίβεσθαι ἐν τῷ βίῳ τού-
τῳ ἔλεγε. πολλὰ δὲ παραινέσας αὐτοῖς
οὕτως ὡς παρέλαβον ἀπ' αὐτοῦ ἀναστρέ-
φεσθαι, γράφει περὶ τῶν τελευτώντων.
παραμυθούμενος αὐτοὺς καὶ διδάσ-
κων μὴ βαρέως φέρειν. οὐ γὰρ εἶναι τὸν
θάνατον ἀπώλειαν, ἀλλ' ὁδὸν ἀναστά-
σεως. ἔπειτα καὶ περὶ τῶν χρόνων αὐ-
τοὺς διδάσκει, ἵνα ἄδηλον τὴν ἡμέραν
γινώσκοντες, ἀεὶ ἕτοιμοι γίνωνται. καὶ
μηδενὶ προσέχωσιν ἐπαγγελλομένῳ
περὶ αὐτῆς ἔσεσθαι γάρ φησι τὴν πα-
ρουσίαν οὕτως, ὥστε τοὺς περιλειπο-
μένους καὶ εὑρισκομένους ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, μὴ φθάνειν τοὺς ἐκ νεκρῶν ἐγειρο-
μένους ἅμα γὰρ γίνεσθαι τὴν πάντων
ἀλλαγὴν διδάσκει. πρὸς τούτοις προ-
τρέπων αὐτοὺς βελτιοῦσθαι ἐν τοῖς ἤ-
θεσι, προτρέπει ἀεὶ αὐτοὺς χαίρειν τῇ
ἐλπίδι. καὶ προσεύχεσθαι καὶ εὐχαρισ-
τεῖν ἀεὶ τῷ κυρίῳ. ἐνορκίζων αὐτοὺς ἀ-
ναγνῶναι τὴν ἐπιστολὴν ταύτην πᾶσι
τοῖς ἀδελφοῖς. καὶ οὕτω τελειοῖ τὴν ἐ-
πιστολήν.

ὑπόθεσις τῆς πρὸς θεσσαλονι-
κεῖς δευτέρας ἐπιστολῆς.

Ταύτην ἐπιστέλλει ἀπὸ ῥώμης. ἡ δὲ
πρόφασις τῆς ἐπιστολῆς, αὕτη. τι-
νὲς ἀπὸ θεσσαλονίκης, ἀργοὶ καὶ ἄτακ-
τοι περιερχόμενοι, τοὺς ἀδελφοὺς ὑ-
φήρπαζον ὡς ἤδη τῆς παρουσίας τοῦ κυ-
ρίου ἐνστάσης. ἠπάτων δὲ τοὺς ἀ-
κούοντας, ὡς τοῦ ἀποστόλου, τοῦτο
δηλοῦντος, καὶ ὑπὸ πνεύματος ἀκού-
σαντες. ταῦτα τοίνυν μαθὼν ὁ ἀπόστο-
λος γράφει τὴν ἐπιστολήν. καὶ πρῶτον
μὲν ἀποδέχεται τὴν πίστιν αὐτῶν αὐξά-
νουσαν. καὶ ὅτι ἐν αὐτοῖς ἐκαυχᾶτο τὰς
θλίψεις γενναίως ὑποφέρουσι διὰ τὸν
χριστόν. καὶ παραμυθεῖται δὲ αὐτούς.
ὡς ἐσομένης ἐκδικίας παρὰ τοῦ θεοῦ κα-
τὰ τῶν αὐτοὺς ἀδικούντων. ἔπειτα περὶ
τῆς παρουσίας τοῦ σωτῆρος διδάσκει
μηδενὶ αὐτοὺς πείθεσθαι μήτε θροεῖσ-
θαι αὐτούς. μήτε διὰ πνεύματος. μήτε
ὡς αὐτοῦ γράψαντος. μηδ' ὅλως νομί-
ζειν ἤδη παρεῖναι αὐτήν. μὴ γὰρ πρότε-
ρον ἔσεσθαι αὐτήν, ἐὰν μὴ ἡ ἀποστασία
πρῶτον ἔλθῃ. καὶ μετὰ ταύτην ὁ ἀντί-
χριστος ὁ υἱὸς τῆς ἀπωλείας. οὗ τὴν πα-
ρουσίαν ἐν σημείοις καὶ τέρασι ψευ-
δοῦς κατ' ἐνέργειαν τοῦ σατανᾶ ἔσεσ-
θαι σημαίνει. εἶτα παραινέσας αὐτοῖς στή-
κειν γενναίως καὶ κρατεῖν τὰς παραδό-
σεις ἃς ἐδιδάχθησαν παρ' αὐτοῦ, παραγ-
γέλλει μηδεμίαν κοινωνίαν ἔχειν μετὰ
τῶν ἀτάκτων ἀλλὰ καὶ ἀποβάλλειν
αὐτούς. εἶναι γὰρ καὶ περιέργους καὶ
πλάνους ἐδήλωσε τοὺς τοιούτους. καὶ
καθόλου δὲ παρήγγειλε τὸν μὴ ὑπα-
κούοντα τοῖς λόγοις αὐτοῦ, τοῦτον ἀ-
ποσυνάγωγον γίνεσθαι. καὶ λοιπὸν ἐ-
πευξάμενος αὐτοῖς εἰρήνην, τελειοῖ τὴν
ἐπιστολήν, τὸν ἀσπασμὸν τῇ ἰδίᾳ χειρὶ
γράψας, ὅπερ σημεῖον εἶναι πάσης ἐπι-
στολῆς δεδήλωκεν.

θεοδωρίτου.

Ἐπειδὴ ἐν τῇ πρώτῃ ἐπιστολῇ ἔγρα-
ψεν ὡς πάντως ἀπιὼν πρὸς αὐ-
τούς, καὶ ἀναπληροῦν μέλλων τὰ ὑστε-
ρήματα αὐτῶν, καὶ πολλὰ ἀγάπης ση-
μαντικά, οὐκ ἀπῆλθε δέ, ταύτην προστί-
θησι τὴν ἐπιστολὴν ἀντὶ τῆς παρουσίας
αὐτοῦ. ὅτι δὲ μὴ ἀπῆλθε πρὸς αὐτοὺς
ἔνθεν στοχαστέον. ἐν τῇ πρώτῃ περὶ τῶν
χρόνων τῆς τοῦ κυρίου παρουσίας ὑ-
περθέμενος γράψαι, ὡς οὐ χρειῶδες αὐ-
τοῖς, νῦν γράφει, οὐ ποιῶν τοῦτο εἴγε
αὐτὸς ἀπελήλυθε. γράφει δὲ περὶ τῶν
χρόνων διὰ ταύτην τὴν αἰτίαν. λυμεῶ-
νες τινὲς ἔλεγον παρεῖναι λοιπὸν τὴν
παρουσίαν τοῦ κυρίου. εἰ δὲ τοῦτο ἦν
ἀληθές, ὁ χριστὸς ψεύστης εὑρίσκετο.
αὐτὸς γὰρ ἐν τοῖς εὐαγγελίοις σημεῖα
τῆς παρουσίας αὐτοῦ δέδωκεν. ἅτινα
οὐκ ἦν ἐκβάντα. ἀναγκάζεται οὖν καὶ αὐ-
τὸς διαλαβεῖν περὶ τῶν πρὸ τῆς παρου-
σίας σημείων. καὶ τῆς τοῦ ἀντιχρίστου
ἐλεύσεως. διὰ πάντων ἀληθεῖς τὰς τοῦ
κυρίου προρρήσεις ποιῶν.

ὑπόθεσις τῆς πρὸς τιμόθεον
πρώτης ἐπιστολῆς.

Ταύτην ἐπιστέλλει ἀπὸ μακεδονίας
ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς, αὕ-
τη. ἐν τῇ ἐφέσῳ τινὲς ἰουδαΐζοντες ἐπε-
χείρουν ἑτεροδιδασκαλεῖν καὶ ἀπατᾶν
τοὺς ἀκεραίους προφάσει τοῦ νόμου.
τοῦτο δὲ μαθὼν ὁ ἀπόστολος, προτρέ-
πει τὸν τιμόθεον ἐκεῖ προσμεῖναι πρὸς
διόρθωσιν αὐτῶν, γράφει τε τὴν ἐπισ-
τολήν. καὶ πρῶτον μὲν ὑπομιμνήσκει



Digitized by Google

Τιμόθεον εἰδότα τὴν ἐν χριστῷ πίστιν, διδάσκων αὐτὸν περὶ τοῦ μόνον κωλύειν τοὺς παρὰ τὴν ὀρθὴν πίστιν καὶ διδασκαλίαν λαλοῦντας, ἐπιτιμᾶν τε αὐτοῖς. καὶ γὰρ καὶ αὐτὸς ὑμέναιον καὶ ἀλέξανδρον ναυαγήσαντας περὶ τὴν πίστιν, παρέδωκε τῷ σατανᾷ. ἵνα παιδευθῶσι μὴ βλασφημεῖν. ταῦτα ὑπομνήσας λοιπὸν διατάσσει αὐτῷ κανόνας ἐκκλησιαστικοὺς περὶ προσευχῆς. καὶ πῶς καὶ ποῦ καὶ περὶ τίνων δεῖ προσεύχεσθαι. περὶ τοῦ σιγᾶν ἐν ἐκκλησίᾳ τὰς γυναῖκας, καὶ μᾶλλον μανθάνειν καὶ μὴ διδάσκειν αὐτάς. περὶ ἐπισκόπων καὶ πρεσβυτέρων καὶ διακόνων πῶς καὶ ὁποίους εἶναι δεῖ τοὺς καθισταμένους. περὶ τῶν ἐν τῇ ἐκκλησίᾳ χηρῶν, ἀπὸ πόσων ἐτῶν χρὴ ταύτας καταλέγεσθαι καὶ ὁποίας αὐτὰς εἶναι δεῖ, καὶ πῶς αὐταῖς δεῖ προσέχειν. περὶ τοῦ σωφρονεῖν τοὺς νεωτέρους καὶ γαμεῖν μᾶλλον καὶ μὴ αἰσχρῶς ζῆν. περὶ τοῦ παραγγέλλειν τοῖς πλουσίοις μὴ ὑψηλοφρονεῖν, μὴ δὲ ἐλπίζειν ἐπὶ πλούτῳ. περὶ τούτων διαταξάμενος, προτρέπεται αὐτὸν ταῦτα διδάσκειν, καὶ μηκέτι μὲν ὑδροποτεῖν. προσέχειν δὲ ἑαυτῷ καὶ τῇ διδασκαλίᾳ, εἰδότα ἔσεσθαι καιροὺς ἐν οἷς ἀποστήσονταί τινες τῆς πίστεως. διδάξας δὲ καθαρὰ εἶναι καὶ τὰ βρώματα. καὶ παραγγείλας αὐτῷ ἐκτρέπεσθαι τὰς ἐμφιλονείκους ζητήσεις ὡς βεβήλους οὔσας, ἐφ' αἷς καί τινες καυχώμενοι παρέβησαν τὴν πίστιν, τελειοῖ τὴν ἐπιστολήν.

θεοδωρίτου.

Τί δήποτε καὶ ἄλλους ἔχων μαθητὰς ὁ παῦλος, οἷον τὸν σίλαν, τὸν λουκᾶν, καὶ ἑτέρους, πρὸς τιμόθεον μόνον, καὶ πρὸς τίτον ὀνομαστὶ γράφει. καί φαμὲν ὅτι τούτοις ἦν ἤδη ἐκκλησίας ἐγκεχειρικώς. τοὺς δὲ ἄλλους ἔτι εἶχε μεθ' ἑαυτοῦ. γράφει δὲ πρὸς τιμόθεον τὰ διδασκάλῳ πρέποντα λοιπόν.

ὑπόθεσις τῆς πρὸς τιμόθεον δευτέρας ἐπιστολῆς.

Ταύτην ἐπιστέλλει ἀπὸ ῥώμης πάλιν. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. τῶν συναποδημησάντων τῷ παύλῳ καταλειψάντων αὐτὸν, βουλόμενος ὁ ἀπόστολος ἐλθεῖν τιμόθεον πρὸς αὐτὸν, γράφει τὴν ἐπιστολήν. καὶ πρῶτον μὲν δηλοῖ ἑαυτὸν μνημονεύειν αὐτοῦ τε τῆς εὐλαβείας, καὶ τῆς τῶν προγόνων αὐτοῦ πίστεως. ἔπειτα δηλοῖ, ὅτι οἱ ἀπὸ ἀσίας, ὧν ἐστι φύγελλος καὶ ἑρμογένης, ἀπεστράφησαν αὐτὸν ὁρῶντες αὐτοῦ τὰς ἁλύσεις. τὸν ὀνησίφορον δὲ ἀπεδέξατο ἐλθόντα εἰς τὴν ῥώμην καὶ προσμείναντα αὐτῷ. παραγγέλλει δὲ αὐτῷ παραιτεῖσθαι τὰς μωρὰς ζητήσεις, διὰ τὸ ἐξ αὐτῶν γεννᾶσθαι μάχας. καὶ γὰρ ὑμέναιος καὶ φιλητὸς οὕτως ἐκτραπέντες, παρέβησαν τὴν ἀλήθειαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι, καί τινας ἀνατρέπουσι. μᾶλλον οὖν παραινεῖ αὐτῷ προσέχειν ἑαυτῷ καὶ τῇ διδασκαλίᾳ. καὶ εἰδέναι μὲν ὅτι ἐν ἐσχάτοις καιροῖς ἔσονται ἄνθρωποι φίλαυτοι καὶ φιλήδονοι μᾶλλον, ἢ φιλόθεοι. προβλέποντα δὲ ταῦτα, ἀσφαλίζεσθαι τοὺς λαοὺς μήτις ἐξ αὐτῶν ἀπατηθῇ, καὶ εἰς τὰ ἤθη δὲ καὶ εἰς τὴν τῆς διδασκαλίας ἀκρίβειαν πολλὰ προτρεψάμενος αὐτὸν, καὶ σημάνας τὸν καιρὸν τῆς ἀναλύσεως αὐτοῦ ἐνστῆναι, καὶ μέλλειν σπένδεσθαι καὶ μαρτυρεῖν, ἐνετείλατο ἐλθεῖν πρὸς αὐτὸν ταχέως κομίζοντα τὸν φελόνην καὶ τὰ βιβλία. παρῄνεσε δὲ αὐτῷ καὶ ἀλέξανδρον τὸν χαλκέα φυλάττεσθαι, ὡς πολλὰ κακὰ ἐνδειξάμενον αὐτῷ. καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

θεοδωρίτου.

Τί δήποτε δευτέραν γράφει πρὸς αὐτὸν ἐπιστολήν, εἰπὼν ἐν τῇ πρώτῃ, ἐλπίζω ἐλθεῖν πρὸς σὲ ταχέως, καὶ οὐκ ἠδυνήθη ἀπελθεῖν, ἤδη γὰρ κατείχετο ὑπὸ νέρωνος. ἔδει οὖν ἀντὶ τῆς παρουσίας γράμμα πέμψαι. ὁμοῦ μὲν τὸ μὴ ἐλθεῖν παραμυθούμενον, ὁμοῦ δὲ ἐπιρρωννύοντα καὶ τὸν τιμόθεον ὄντα τῇ φροντίδι τῆς ἐκκλησίας ἐγκεχρονικότα.

ὑπόθεσις τῆς πρὸς τίτον ἐπιστολῆς.

Ταύτην ἐπιστέλλει ἀπὸ νικοπόλεως, ἐκεῖ γὰρ παρεχείμαζεν. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. εἰς μὲν τὴν κρήτην ἀπέλιπε τὸν τίτον, ἵνα κατὰ πόλιν καταστήσῃ κληρικούς. πολλῶν δὲ ὄντων ἐκεῖ τῶν ἐπιχειρούντων προφάσει τοῦ νόμου ἀπατᾶν τοὺς λαοὺς, μαθὼν ὁ ἀπόστολος γράφει. καὶ πρῶτον μὲν εὐχαριστῶν τῷ θεῷ διὰ τὴν αὐτοῦ εὐλάβειαν, σημαίνει τὴν ἐν χριστῷ πίστιν μὴ νεωτέραν εἶναι ἀλλ' ἐξ αἰῶνος ἡτοιμάσθαι, καὶ ἐπηγγέλθαι παρὰ τοῦ

Digitized by Google

θεοῦ ταύτην. ἔπειτα περὶ τῆς καταστάσεως τῶν κληρικῶν καὶ τοῦτον διδάσκει, πῶς καὶ ὁποίους αὐτοὺς εἶναι δεῖ. καὶ ἐπιτιμᾶν δὲ ἐντέλλεται αὐτῷ τοῖς ἀντιλέγουσι τῇ ὑγιαινούσῃ πίστει, μάλιστα τοῖς ἐκ περιτομῆς. εἰδέναι δὲ τοὺς κρῆτας ὅτι ἀργοί εἰσι, καὶ χρήζουσιν ἐπιτιμίας. διδάξας δὲ πάντα τὰ βρώματα καθαρὰ εἶναι τοῖς καθαροῖς, καὶ ὁποίας εἶναι δεῖ τὰς πρεσβύτιδας τὰς ὀφειλούσας σωφρονίζειν τὰς νέας, παραινεῖ πῶς δεῖ τοὺς δούλους τοῖς ἰδίοις δεσπόταις ὑποτάσσεσθαι. καὶ τέλος ὑπομνήσας ὅτι ἡ τοῦ σωτῆρος χάρις οὐκ ἐξ ἔργων ἡμᾶς ἐδικαίωσεν, ἀλλὰ τῇ ἰδίᾳ φιλανθρωπίᾳ. καὶ παραγγείλας τὰς νομικὰς μάχας ἐκτρέπεσθαι ὡς ἀναισχύντους οὔσας, δηλοῖ αὐτῷ μετὰ τὸ πέμψαι πρὸς αὐτὸν ἀρτεμᾶν, ἵνα ἔλθῃ πρὸς αὐτόν. ἐνετείλατό τε αὐτῷ ὥστε διδάσκειν καὶ τοὺς αὐτοῦ καλῶν ἔργων προΐστασθαι. καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

θεοδωρίτου.

Ὁ Τίτος θαυμάσιός τις ἦν μαθητὴς τοῦ παύλου, ἐπίσκοπος δὲ τῆς κρήτης μεγίστης οὔσης κεχειροτόνητο ὑπὸ τοῦ παύλου. ἐπετέτραπτο δὲ τοὺς ὑπ' αὐτὸν ἐπισκόπους χειροτονῆσαι. γράφων δὲ ταῦτα ὁ παῦλος μᾶλλον ἐν ἀδείᾳ ἦν. οὐδαμοῦ γὰρ πειρασμῶν μέμνηται. ἀποτείνεται δὲ καὶ πρὸς ἰουδαίους ἡ ἐπιστολή. πρώτη δὲ αὕτη τῆς πρὸς τιμόθεον μᾶλλον ἐστίν.

ὑπόθεσις τῆς πρὸς φιλήμονα ἐπιστολῆς.

Ταύτην ἐπιστέλλει ἀπὸ ῥώμης. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. ὀνήσιμος ὁ οἰκέτης φιλήμονος, ἔφυγε. καὶ ἀπελθὼν πρὸς τὸν ἀπόστολον, κατηχήθη παρ' αὐτοῦ, καὶ γέγονεν αὐτῷ χρήσιμος εἰς διακονίαν. περὶ τούτου τοίνυν γράφει φιλήμονι παρατιθέμενος αὐτῷ τὸν ὀνήσιμον, ἵνα προσέχῃ αὐτῷ γνησίως, καὶ μηκέτι ἔχῃ αὐτὸν ὡς δοῦλον ἀλλ' ὡς ἀδελφόν. προετρέψατο δὲ αὐτὸν καὶ ξενίαν αὐτῷ ἑτοιμάσαι ἵνα ἐὰν ἔλθῃ, εὕρῃ που μείνῃ καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

θεοδωρίτου.

Ὁ φιλήμων θαυμάσιός τις ἦν ἀνήρ, φρὺξ μὲν τὸ γένος. πιστὸς δὲ τὸν τρόπον, καὶ ταῖς χρείαις τῶν ἁγίων κοινωνῶν. τούτου δοῦλος ὀνήσιμος ἀπέδρακε κλοφὼς αὐτόν. ὃς παραγενόμενος ἐν ῥώμῃ πρὸς τὸν παῦλον, κατηχήθη. καὶ βαπτισθεὶς ἐν δεσμοῖς ὄντος τοῦ παύλου, θαυμάσιος γέγονε. τοῦτον ἀποπέμπει πρὸς τὸν φιλήμονα, παραθετικὴν αὐτῷ ποιήσας ταύτην τὴν ἐπιστολήν. φασὶ δέ τινες, μὴ χρῆναι ταύτην συναριθμεῖσθαι ταῖς λοιπαῖς ἐπιστολαῖς ὑπὲρ εὐτελοῦς γραφεῖσαν πράγματος. ἀλλ' ὅρα πόσα ἐκ ταύτης χρήσιμα. πρῶτον παιδεύει καὶ ὑπὲρ τῶν εὐτελῶν εἶναι σπουδαίους. δεύτερον ὅτι εἰ δοῦλος οὕτως ἰταμὸς ὑπέστρεψεν, οὐ δεῖ τῶν ἐλευθέρων ἀπογινώσκειν. τρίτον ὅτι οὐ προσήκει προφάσει εὐλαβείας δούλους ἀποσπᾶν ἀκόντων τῶν δεσποτῶν. τέταρτον ὅτι χρὴ ἡμᾶς τοὺς δούλους μὴ ἐπαισχύνεσθαι ἐναρέτους ὄντας. ὁπότε παῦλος τέκνον καλεῖ τὸν ὀνήσιμον. πῶς οὖν τὴν τοσαύτην ὠφέλειαν ἔχουσαν ἐπιστολήν, οὐκ ἔδει καταριθμεῖσθαι ταῖς λοιπαῖς.

ὑπόθεσις τῆς πρὸς ἑβραίους ἐπιστολῆς.

Ταύτην ἐπιστέλλει ἀπὸ ἰταλίας. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. ἐπειδὴ οἱ ἰουδαῖοι ἐνίσταντο τῷ νόμῳ καὶ ταῖς σκιαῖς, διὰ τοῦτο ὁ ἀπόστολος παῦλος διδάσκαλος ἐθνῶν γενόμενος καὶ εἰς τὰ ἔθνη ἀποσταλεὶς, κηρύττει τὸ εὐαγγέλιον. γράψας τε πᾶσι τοῖς ἔθνεσι, γράφει λοιπὸν καὶ πᾶσι τοῖς ἐκ περιτομῆς πιστεύουσιν ἑβραίοις ἀποδεικτικὴν ταύτην ἐπιστολήν, περὶ τῆς χριστοῦ παρουσίας καὶ τοῦ πεπαῦσθαι τὴν σκιὰν τοῦ νόμου. καὶ πρῶτον μὲν ἀποδείκνυσι τοὺς προφήτας διὰ τοῦτο ἀπεστάλθαι, ἵνα περὶ τοῦ σωτῆρος ἀπαγγείλωσι, καὶ μετ' αὐτοὺς αὐτὸς ἔλθῃ. δούλους τε εἶναι τοὺς προφήτας καὶ μηνυτὰς τῆς αὐτοῦ παρουσίας, αὐτὸν δὲ τὸν χριστὸν υἱὸν εἶναι τοῦ θεοῦ, δι' οὗ τὰ πάντα γέγονε. καὶ ὅτι τοῦτον τὸν υἱὸν τοῦ θεοῦ ἔδει ἄνθρωπον γενέσθαι. ἵνα διὰ τῆς τοῦ σώματος αὐτοῦ θυσίας καταργήσῃ τὸν θάνατον. οὐ γὰρ δι' αἵματος μόσχον ἢ τράγον, ἀλλὰ δι' αἵματος χριστοῦ ἔσεσθαι τὴν σωτηρίαν τοῖς ἀνθρώποις. ἀποδείκνυσι δὲ ὅτι ὁ νόμος οὐδένα ἐτελείωσεν, ἀλλὰ σκιὰν εἶχε τῶν μελλόντων ἀγαθῶν. καὶ οὐ κατέπαυσεν ὁ λαὸς, ἀλλὰ κοινὴ πᾶσιν ἡμῖν ἀπολείπεται ἡμέρα τῆς καταπαύσεως. πάλιν δὲ ἀποδείκνυσιν ὅτι ἡ ἀρχιερατικὴ λειτουργία μετετέθη ἀπὸ ἀαρὼν εἰς τὸν χριστὸν, οὗ τύπος ἦν ὁ μελχισέδεκ οὐκ ὢν ἐκ τοῦ λευί. πίστει τε δε-

Digitized by Google

δικαιῶσθαι τοὺς πατέρας σημαίνει, καὶ οὐκ ἐξ ἔργων μόνον. εἶτα πάλιν εἰς τὰ ἤθη προτρεψάμενος καὶ τούτους, καὶ ἀποδεξάμενος αὐτῶν τὴν διὰ τὸν Χριστὸν ὑπομονήν, καὶ πείσας τιμᾶν τοὺς πρεσβυτέρους, τελειοῖ τὴν ἐπιστολήν.

θεοδωρίτου.

Τίνος ἕνεκεν ἐθνῶν ἀπόστολος ὑπάρχων ὁ παῦλος ἑβραίοις ἐπιστέλλει, καὶ ταῦτα ἀπεχθῶς ἔχουσι πρὸς αὐτὸν τῷ τὸν νόμον παραλύειν. οἱ γὰρ ἀμφὶ πέτρον συγκαταβαίνοντες αὐτοῖς ἠρέμα εἴχοντο καὶ τοῦ νόμου. καὶ φαμὲν ὅτι ὥσπερ βαπτίζειν οὐκ ἐπιτετραμμένος, ἐκ περιουσίας ἐβάπτιζεν, οὕτως καὶ ἑβραίοις ἐπιστέλλει πρὸς τὰ ἔθνη ἀποσταλείς. ἐκήδετο γὰρ αὐτῶν, ὡς καὶ λέγειν. ἤθελον ἀνάθεμα εἶναι ὑπὲρ αὐτῶν. καὶ πάλιν. πορεύομαι εἰς ἱεροσόλυμα διακονήσων τοῖς ἁγίοις. ἐπιστέλλει μὲν οὖν τοῖς ἤδη πεπιστευκόσιν ἐν τῇ ἱερουσαλὴμ καὶ παλαιστίνῃ. ἐπιστέλλει δὲ παραμυθούμενος αὐτοὺς πλεῖστα κακὰ πεπονθότας ὑπὸ τῶν ἰδίων συμφυλετῶν μὴ πεπιστευκότων ὡς καὶ αὐτὸς δηλοῖ λέγων τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε. δύο δὲ μάλιστα κατασκευάζει ἐν τῇ ἐπιστολῇ, παραμυθεῖται αὐτοὺς τοῦ φέρειν γενναίως τοὺς πειρασμούς, καὶ ὅτι ἔσται τούτων ἀντίδοσις ἀγαθή, πολλὰ δὲ περὶ τῆς πίστεως φιλοσοφεῖ. δεικνὺς τὰ μὲν ἰουδαϊκὰ οὐκέτι ἀναγκαῖα ὡς τύπον ὄντα τῆς ἀληθείας. τὰ δὲ ἡμέτερα ἀναγκαῖα ὡς ὄντα ἀληθινά. τίνι δὲ τρόπῳ οὐκ ἔθηκε τὴν ἰδίαν ὀνομασίαν ἑβραίοις γράφων κλήμης ἐν ταῖς ὑποτυπώσεσι γράφει λέγων οὕτως. ἤδη δὲ ὡς ὁ μακάριος ἔλεγε πέτρος, ἐπεὶ ὁ κύριος ὢν ἀπόστολος τοῦ παντοκράτορος ἀπεστάλη πρὸς ἑβραίους, διὰ μετριότητα ὁ παῦλος ὡς ἂν εἰς τὰ ἔθνη ἀπεσταλμένος, οὐκ ἐγγράφει ἑαυτὸν ἑβραίων ἀπόστολος διὰ τὴν πρὸς τὸν κύριον τιμήν. διὰ δὲ τὸ ἐκ περιουσίας ἐθνῶν κήρυκα καὶ ἀπόστολον εἶναι, ἐπιστέλλει καὶ τοῖς ἑβραίοις.

ὑπόθεσις τῆς καθολικῆς ἰακώβου ἐπιστολῆς.

Ἐπειδὴ αὐτὸς ὁ ἰάκωβος ταύτην γράφει τοῖς ἀπὸ τῶν δώδεκα φυλῶν διασπαρεῖσι καὶ πιστεύσασιν εἰς τὸν κύριον ἡμῶν ἰησοῦν Χριστόν, γράφει δὲ διδασκαλικὴν τὴν ἐπιστολήν. διδάσκων περὶ διαφορᾶς πειρασμῶν, ποῖος μέν ἐστιν ἀπὸ θεοῦ, ποῖος δὲ ἀπὸ τῆς ἰδίας καρδίας τῶν ἀνθρώπων. καὶ ὅτι οὐ λόγῳ μόνον ἀλλὰ καὶ ἔργῳ δεῖ δεικνύναι τὴν πίστιν, καὶ οὐκ οἱ ἀκροαταὶ τοῦ νόμου ἀλλ' οἱ ποιηταὶ δικαιοῦνται. περί τε τῶν πλουσίων παραγγέλλει ἵνα μὴ προκρίνωνται τῶν πτωχῶν οἱ πλούσιοι ἐν ταῖς ἐκκλησίαις, ἀλλὰ μᾶλλον καὶ ἐπιπλήττωνται ὡς ὑπερήφανοι. καὶ τέλος παραμυθησάμενος τοὺς ἀδικουμένους καὶ προτρεψάμενος αὐτοὺς μακροθυμεῖν ἕως τῆς παρουσίας τοῦ κριτοῦ, καὶ διδάξας περὶ ὑπομονῆς, καὶ δείξας ἐκ τοῦ ἰὼβ τὸ χρήσιμον τῆς ὑπομονῆς, παραγγέλλει καὶ προσκαλεῖσθαι τοὺς πρεσβυτέρους ἐπὶ τοὺς ἀσθενοῦντας. καὶ σπουδάζειν ἐπιστρέφειν τοὺς πλανηθέντας ἐπὶ τὴν ἀλήθειαν. εἶναι γὰρ τοῦτον μισθὸν παρὰ τοῦ κυρίου ἄφεσιν ἁμαρτιῶν. καὶ οὕτως τελειοῖ τὴν ἐπιστολήν.

θεοδωρίτου.

Καθολικαὶ λέγονται αὗται, οἱονεὶ ἐγκύκλιοι. οὐ γὰρ ἀφωρισμένως ἔθνει ἑνὶ ἢ πόλει ὡς ὁ θεῖος παῦλος, οἷον ῥωμαίοις ἢ κορινθίοις προσφωνεῖ ταύτας τὰς ἐπιστολὰς ὁ τῶν τοιούτων τοῦ κυρίου μαθητῶν θίασος, ἀλλὰ καθόλου τοῖς πιστοῖς, ἤτοι ἰουδαίοις τοῖς ἐν τῇ διασπορᾷ ὡς πέτρος, ἢ καὶ πᾶσι τοῖς ὑπὸ τὴν αὐτὴν πίστιν Χριστιανοῖς τελοῦσιν.

ὑπόθεσις τῆς πέτρου καθολικῆς πρώτης ἐπιστολῆς.

Ταύτην γράφει ὁ πέτρος τὴν ἐπιστολὴν διδασκαλικὴν τοῖς ἐν τῇ διασπορᾷ οὖσιν ἰουδαίοις καὶ γενομένοις Χριστιανοῖς. ἐπειδὴ γὰρ ἀπὸ ἰουδαίων ἐπίστευσαν, ἐπιστηρίζει αὐτούς. καὶ πρῶτον μὲν ἐξηγεῖται καὶ ἀποδείκνυσιν ὅτι ἡ εἰς Χριστὸν πίστις ἀπὸ τῶν προφητῶν κατηγγέλθη, καὶ δι' αὐτῶν ἐμηνύθη ἡ διὰ τοῦ αἵματος αὐτοῦ ἀπολύτρωσις. καὶ ὅτι αὐτοῖς καὶ τοῖς ἔθνεσιν εὐηγγελίσθη τὰ πάντα, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. εἶτα συμβουλεύσας ἀξίως τοῦ καλέσαντος ἀναστρέφεσθαι, προτρέπει καὶ βασιλεῖς τιμᾶν. γυναιξί τε καὶ ἀνδράσιν ὁμοφροσύνην παραγγέλλει. καὶ εἰς τὰ ἤθη παραινέσας ὀλίγα, σημαίνει ὅτι καὶ εἰς τὸν ᾅδην τοῦτο γέγονε παρὰ τοῦ κυρίου τὸ κήρυγμα τῆς σωτηρίας καὶ ἀναστάσεως, ἵνα οἱ προαποθανόντες ἀναστῶσι, καὶ κριθῶσι μὲν τῷ σώματι, τῇ δὲ χάριτι τῆς ἀναστάσεως διαμείνωσι. καὶ

Digitized by Google

ὅτι τὸ τέλος λοιπὸν πάντων ἤγγισε. καὶ
ὀφείλουσι πάντες, οὕτω τελειοῖ τὴν ἐπι
στολήν. θεοδωρίτου.

Τοῖς ἐκ περιτομῆς καὶ οὗτος ἐπιστέλ=
λει, ὡς ὁ μακάριος ἰάκωβος. ἀλλ᾽ ἐκεῖ
νος μὲν ἀορίστως πᾶσι τοῖς ὑπὸ τὴν οἰ=
κουμένην κατοικοῦσιν ἰουδαίοις ὅπου δή
ποτε οὖσιν, οὗτος δὲ ἀφωρισμένως τοῖς
κλίμασι πόντου γαλατίας. τοῦ πόντου
δὲ προστίθησι γαλατίας, ἐπειδὴ ἔστι καὶ
ἄλλη κατὰ κελτοὺς γαλατία, ἥτις καὶ ὄν
τως γαλατία. ἀφ᾽ ἧς καὶ οὗτοι μετῳκίσθη
σαν ἐνταῦθα. τούτοις οὖν τοῖς ἔθνεσι καὶ
τοῖς λοιποῖς τοῖς ἐγκειμένοις ἐν τῇ προ=
γραφῇ τὸν λόγον ποιεῖται, ἐγκυκλίῳ ταύ
τῃ χρώμενος ἐπιστολῇ.

ὑπόθεσις τῆς πέτρου καθολικῆς
δευτέρας ἐπιστολῆς.

Ταύτην πάλιν αὐτὸς ὁ πέτρος ἐπισ=
τέλλει τοῖς ἤδη πιστεύσασιν. ἔστι δὲ
ἡ ἐπιστολὴ ὑπόμνησις τῶν πρώτων. εἰ=
δὼς γὰρ αὐτοῦ ταχεῖαν ἔσεσθαι τὴν ἀνά
λυσιν τοῦ σώματος, ἐσπούδασε πάν=
τας ὑπομνῆσαι περὶ ὧν κατηχήθησαν τὴν
διδασκαλίαν. καὶ πρῶτον μὲν περὶ τῆς
πίστεως ἐξηγεῖται, δεικνὺς αὐτὴν ἀπὸ
τῶν προφητῶν εὐηγγελίσθαι. καὶ ὅτι αἱ
προφητεῖαι αἱ περὶ τοῦ σωτῆρος οὐκ εἰ=
σὶν ἀνθρώπιναι, ἀλλὰ παρὰ θεοῦ ἐλαλή
θησαν. ἔπειτα παραγγέλλει μὴ προσέ=
χειν τοῖς ἀπατῶσι, λέγων ἔσεσθαι αὐτῶν
ἀπώλειαν ὥσπερ καὶ τῶν παραβάντων
ἀγγέλων γέγονε. προμηνύει δὲ ἐν τῇ ἐπι
στολῇ ἡμέρας ἔσεσθαι, ἐν αἷς ἐμπαῖκται
περιπατήσουσι, καὶ θελήσουσιν ἀπατᾶν
τινὰς λέγοντες, μάτην λέγεσθαι παρ᾽ ἡμῶν
τὴν παρουσίαν τοῦ σωτῆρος, διὰ τὸ ἀεὶ
λέγεσθαι, καὶ μήπω παραγενέσθαι. ἀπὸ
τούτων οὖν καὶ μάλιστα ἀπέχεσθαι πα=
ραγγέλλει διδάσκων μὴ ὀλιγωρεῖν ἐν
τοῖς χρόνοις. πάντα γὰρ τὸν χρόνον μη
δὲν εἶναι ἐνώπιον κυρίου. διὰ τὸ καὶ τὴν
μίαν ἡμέραν εἶναι ὡς χίλια ἔτη. καὶ τὰ χί
λια ἔτη, ὡς ἡμέραν μίαν. ἔσεσθαι δὲ ταχέ
ως τὴν ἡμέραν τοῦ κυρίου διαβεβαιοῦται
καὶ ἀποδείκνυσι. καὶ ἐντέλλεται ἑτοί=
μους εἶναί τε πάντας εἰς αὐτὴν ἐν ἔργοις
ἀγαθοῖς, καὶ ἀγαπᾶν τὰ ὑπὸ τοῦ ἀπος=
τόλου παύλου γραφέντα, καὶ μὴ προσέ
χειν τοῖς διαβάλλουσιν αὐτὰ διὰ τὸ καὶ
πάσας τὰς θείας γραφὰς διαβάλλειν αὐ
τούς. ὑπομνήσας οὖν καὶ διδάξας πάν=
τας προειδέναι τὰ πράγματα, παραινεῖ
μὴ ἐκπίπτειν τοῦ σκοποῦ τῆς πίστεως.
καὶ οὕτω τελειοῖ τὴν ἐπιστολήν.

ὑπόθεσις τῆς ἰωάννου πρώτης κα
θολικῆς ἐπιστολῆς.

Ἐπειδὴ αὐτὸς ὁ ἰωάννης ὁ τὸ εὐαγγέ
λιον γράψας, αὐτὸς καὶ ταύτην ἐπι
στέλλει, ὑπομιμνήσκων τοὺς ἤδη πιστεύ
σαντας εἰς τὸν κύριον. καὶ πρῶτον μὲν ὥσ
περ ἐν τῷ εὐαγγελίῳ, οὕτω καὶ ἐν ταύτῃ
τῇ ἐπιστολῇ θεολογεῖ περὶ τοῦ λόγου.
ἀποδεικνὺς αὐτὸν ἀεὶ εἶναι ἐν τῷ θεῷ, καὶ
διδάσκων τὸν πατέρα φῶς εἶναι, ἵνα καὶ
οὕτως γνῶμεν τὸν λόγον, ὡς ἀπαύγασ
μα ἐξ αὐτοῦ εἶναι. θεολογῶν δὲ, ἐξηγεῖ=
ται μὴ νεώτερον εἶναι τὸ καθ᾽ ἡμᾶς μυστή
ριον, ἀλλ᾽ ἐξ ἀρχῆς μὲν καὶ ἀεὶ τυγχάνειν
αὐτὸ, νῦν δὲ πεφανερῶσθαι ἐν τῷ κυρίῳ,
ὅστις ἐστὶ ζωὴ αἰώνιος καὶ θεὸς ἀληθινός.
καὶ τὸ αἴτιον δὲ τῆς τούτου παρουσίας
καὶ ἐπιφανείας αὐτοῦ τίθησι λέγων εἶναι
τοῦτο ἐπὶ τῷ καταλῦσαι τὰ ἔργα τοῦ δια
βόλου, καὶ ἡμᾶς ἐλευθερωθῆναι ἀπὸ τοῦ
θανάτου, καὶ γινώσκειν ἡμᾶς τὸν πατέρα
καὶ αὐτὸν τὸν υἱὸν τὸν κύριον ἡμῶν ἰη=
σοῦν χριστόν. γράφει γοῦν καὶ πρὸς πᾶ
σαν ἡλικίαν. πρὸς παιδία, πρὸς νεανίσ=
κους, πρὸς γέροντας. ὅτι ὁ μὲν θεὸς ἐγνώ
σθη, ἡ δὲ διαβολικὴ ἐνέργεια λοιπὸν νενί
κηται καταργηθέντος τοῦ θανάτου. εἶτα
λοιπὸν διόλης τῆς ἐπιστολῆς περὶ ἀγά
πης διδάσκει, θέλων ἡμᾶς ἀλλήλους ἀ=
γαπᾶν ἐπειδὴ καὶ ὁ χριστὸς ἠγάπησεν ἡ=
μᾶς. ἐξηγεῖται οὖν περὶ διαφορᾶς φό=
βου, καὶ ἀγάπης, καὶ τέκνων θεοῦ. καὶ τέκ=
νων διαβόλου. καὶ περὶ ἁμαρτίας θανα=
τικῆς, καὶ μὴ θανατικῆς, καὶ διαφορᾶς πνευ
μάτων. καὶ λοιπὸν διαιρεῖ ποῖον μὲν πνεῦ
μα ἐκ τοῦ θεοῦ ἐστι, ποῖον δὲ τῆς πλά=
νης. καὶ πότε μὲν γινώσκομεν τέκνα θε=
οῦ πότε δὲ τοῦ διαβόλου. καὶ περὶ ποί=
ας ἁμαρτίας ὀφείλομεν εὔχεσθαι ὑπὲρ
τῶν ἁμαρτανόντων, καὶ περὶ ποίας οὐ
δεῖ εὔχεσθαι. καὶ ὅτι ὁ μὴ ἀγαπῶν τὸν
πλησίον, οὐκ ἔστιν ἄξιος τῆς κλήσεως οὐ
δὲ δύναται λέγεσθαι τοῦ χριστοῦ, καὶ τὴν
ἑνότητα δὲ τοῦ υἱοῦ πρὸς τὸν πατέρα δείκ
νυσι. καὶ ὅτι ὁ ἀρνούμενος τὸν υἱόν, οὐ=
δὲ τὸν πατέρα ἔχει. διακρίνει δὲ ἐν τῇ ἐπι
στολῇ ταύτῃ λέγων, καὶ τοῦ τὸ ἴδιον τοῦ ἀν
τιχρίστου εἶναι τὸ λέγειν μὴ εἶναι τὸν υἱὸν

αὐτὸν τὸν Χριστὸν ἰησοῦν. ἵνα ᾖ δῆλον ὅτι ὡς μὴ ὄντος ἐκείνου, ἑαυτὸν εἴπῃ εἶναι ὁ ψεύστης. παραινεῖ δὲ διόλης τῆς ἐπιστολῆς μὴ ἀθυμεῖν τοὺς πιστεύοντας τῷ κυρίῳ εἰ μισοῦνται ἐν τῷ κόσμῳ, ἀλλὰ μᾶλλον χαίρειν, ὅτι τὸ μῖσος τοῦ κόσμου δείκνυσι τοὺς πιστεύοντας μεταβεβηκέναι ἀπαῦτοῦ τοῦ κόσμου, καὶ εἶναι λοιπὸν τῆς ὀυρανίου πολιτείας. καὶ ἐν τῷ τέλει δὲ τῆς ἐπιστολῆς, πάλιν ὑπομιμνήσκει λέγων. ὅτι ὁ τοῦ θεοῦ υἱὸς ζωὴ αἰώνιός ἐστι, καὶ θεὸς ἀληθινὸς, καὶ ἵνα τούτῳ δουλεύωμεν, καὶ φυλάττωμεν ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων.

ὑπόθεσις τῆς ἰωάννου δευτέρας ἐπιστολῆς.

Ταύτην ὡς πρεσβύτερος γράφει κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. ὁρῶν τὰ τέκνα αὐτῆς καλῶς ἀναστρεφόμενα ἐν τῇ πίστει, καὶ πολλοὺς πλάνους περιερχομένους καὶ λέγοντας μὴ εἶναι τὴν παρουσίαν τοῦ Χριστοῦ ἐν σαρκὶ, γράφει τὴν ἐπιστολήν. καὶ πρῶτον μὲν, ἀποδέχεται αὐτῆς τὰ τέκνα καλῶς περιπατοῦντα. εἶτα διδάσκων μὴ νεώτερον εἶναι τὸ καθήμᾶς μυστήριον, παραινεῖ πάλιν περὶ ἀγάπης, καὶ ἵνα μείνωσιν ἐν τῇ διδαχῇ τῇ παραδοθείσῃ αὐτοῖς. καὶ λοιπὸν διδάσκει ἀντίχριστον εἶναι τὸν λέγοντα μὴ ἐν σαρκὶ ἐληλυθέναι τὸν Χριστόν. παραγγέλλει δὲ, ὥστε τοὺς τοιούτους μὴ δέχεσθαί τινα εἰς οἰκίαν, μὴ δὲ λέγειν τοῖς τοιούτοις χαίρειν. καὶ οὕτως τελειοῖ τὴν ἐπιστολήν.

ὑπόθεσις τῆς ἰωάννου τρίτης ἐπιστολῆς.

Ἐστιν ἡ ἐπιστολὴ περὶ φιλοξενίας. καὶ πρῶτον μὲν ἀποδέχεται τὸν γάϊον μαρτυρούμενον παρὰ πάντων ἐπὶ φιλοξενίᾳ. καὶ προτρέπει τῇ αὐτῇ προθέσει ἐμμένειν καὶ προπέμπειν καὶ δεξιοῦσθαι τοὺς ἀδελφούς. πάλιν τε αὐτοῦ μὲν τὴν προσφορὰν ἀποδέχεται. αἰτιᾶται δὲ διοτρεφῆ, ὡς μήτε αὐτὸν παρέχοντα τοῖς πτωχοῖς, ἀλλὰ καὶ κωλύοντα τοὺς ἄλλους καὶ πολλὰ φλυαροῦντα. τοὺς δὲ τοιούτους λέγει ἀλλοτρίους εἶναι τῆς ἀληθείας καὶ μὴ εἰδέναι τὸν θεόν. δημήτριον δὲ συνίστησι μαρτυρῶν αὐτῷ τὰ κάλλιστα.

ὑπόθεσις τῆς ἰούδα καθολικῆς ἐπιστολῆς.

Ταύτην ἐπιστολὴν γράφει τοῖς ἤδη πιστεύσασιν. ἡ δὲ πρόφασις αὕτη. παρεισελθόντων τινῶν καὶ διδασκόντων ἀδιάφορον εἶναι τὴν ἁμαρτίαν, καὶ ἀρνουμένων τὸν κύριον, ἀνάγκην ἔσχε γράψαι καὶ ἀσφαλίσασθαι τοὺς ἀδελφούς. καὶ πρῶτον μὲν παρακαλεῖ αὐτοὺς ἀγωνίζεσθαι καὶ ἐμμένειν τῇ παραδοθείσῃ αὐτοῖς πίστει. ἔπειτα ἀποκηρύττει τοὺς τοιούτους ὡς πλάνους, καὶ παραγγέλλει μηδεμίαν αὐτοὺς ἔχειν κοινωνίαν πρὸς τοὺς τοιούτους, εἰδότας ὅτι οὐκ ἀρκεῖ τὸ κληθῆναι μόνον, ἐὰν μὴ καὶ ἀξίως περιπατήσωμεν τῆς κλήσεως. καὶ γὰρ καὶ τὸν πρότερον λαὸν ἐξαγαγὼν ἐξ αἰγύπτου ὁ κύριος καὶ μὴ ἐμμείναντα τῇ πίστει, ἀπώλεσε. καὶ ἀγγέλων δὲ μὴ τηρησάντων τὴν ἰδίαν τάξιν, οὐκ ἐφείσατο. δεῖ οὖν ἀπὸ τῶν τοιούτων ἀναχωρεῖν. καὶ γὰρ μιχαὴλ ὁ ἀρχάγγελος οὐχ ὑπήνεγκε βλασφημίαν τοῦ διαβόλου. ἔσεσθαι γοῦν τὴν ἀπώλειαν αὐτῶν, ὡς σολομῶν διδάσκει. εἶτα παραινεῖ εἰς τὰ ἤθη. καὶ ἐπευξάμενος αὐτοῖς βεβαιότητα πίστεως παρὰ κυρίου, τελειοῖ τὴν ἐπιστολήν.

Τέλος.

Digitized by Google

Incipit prefatio ſancti hieronymi preſbyteri in omnes epiſtolas beati Pauli apoſtoli.

PRimum queritur: quare poſt euangelia que ſupplementū legis ſunt ⁊ in quibus nobis exēpla ⁊ precepta viuendi pleniſſime digeſta ſūt: voluerit apoſtol⁹ has epiſtolas ad ſingulas eccleſias deſtinare. Hac aūt cauſa factū videt: vt ſcʒ initia naſcentis eccleſie nouis cauſis exiſtentib⁹ preueniret: et vt preſētia atqꝫ orīētia reſecaret vitia: ⁊ poſt futuras excluderet queſtiones. Exēplo ꝓphetarū qui poſt editā legē moyſi in qua oīa dei mandata legebant: nihilomin⁹ tñ doctrina ſua rediuiua ſemꝑ populi cōpreſſere pctā: ⁊ ꝓpter exēplū viuendi libros ad noſtrā ēt memoriā tranſmiſerunt. Deinde querit. Cur non amplius ꝙ decē epiſtolas ad eccleſias ſcripſerit. Decem ſunt eni cū ea q̄ dr ad hebreos. Nam relique quattuor ad diſcipulos ſpāliter ſunt porrecte. Ut oſtenderet nouū non diſcrepare a veteri teſtamento: et ſe contra legē non facere moyſi: ad numeꝝ primoꝝ decalogi mandatoꝝ ſuas epiſtolas deſtinauit: ⁊ quot ille preceptis a pharaone īſtituit liberatos: totidē hic ep̄lis a diaboli ⁊ idolatrie ſeruitute edocet acquiſitos. Nā et duas tabulas lapideas duoꝝ teſtamētoꝝ figurā hūiſſe viri erudítiſſimi tradiderunt. Epiſtolam ſane que ad hebreos ſcribitur quidā pauli non eſſe contendūt: eo ꝙ non ſit eius nomine titulata: et propter ſermonis ſtiliqꝫ diſtantiā: ſed aut barnabe iuxta tertullianum: aut luce iuxta quoſdaꝫ: vel certe clementis diſcipuli apoſtoloꝝ ⁊ epiſcopi romane eccleſie poſt apoſtolos ordinati. Quib⁹ reſpōdendū eſt. Si propterea pauli non erit q: eius non habet nomē: ergo nec alicuius erit: q: nullius noīe intitulat. Quod ſi incōueniēs abſurdūqꝫ eſt: ipſi⁹ magis eſſe credenda eſt: que tāto doctrine ſue fulget eloq̄o. Sed qm̄ apud hebreoꝝ eccleſias quaſi deſtructor legis falſa ſuſpitione hēbat: voluit tacito nomine de figuris legis et veritate chriſti reddere ratonē: ne odium noīs in fronte pretitulati vtilitatē excluderet lectionis. Non eſt ſane mirū ſi eloquentior videat in ꝓprio .i. in hebreo ꝙ in pegrino .i. in greco quo cetere epiſtole ſunt ſcripte ſermone. Mouet etiā quoſdā quare romanoꝝ ep̄la in primo ſit poſita: cū eam nō primo ſcriptā ratio manifeſtet. Nā hanc ſe ꝓficiſcentē hieroſolymā ſcripſiſſe teſtat cū corinthios ⁊ alios iā ante vt miniſteriū qđ ſecū portatur⁹ erat colligerent: litteris adhortat⁹ ſit. Unde et intelligi quidā volūt ita oēs epiſtolas ordinatas: vt prima poneret ꝙuis poſterior fuerit deſtinata: vt ꝑ ſingulas ep̄las gradib⁹ ad ꝑfectiora veniret. Romanoꝝ namqꝫ pleriqꝫ tā rudes erāt vt nō intelligerent dei ſe gratia ⁊ nō ſuis meritis eſſe ſaluatos: ⁊ ob hoc duo inter ſe ppl'i cōflictarēt. Idcirco illos indigere aſſerit corrigi: vitia gētilitatis priora cōmemorās. Corinthijs aūt iā dicit ſciē grām eſſe cōceſſam: ⁊ nō tā oēs increpat ꝙ cur peccantes nō increpauerūt reprehendit: ſicut ait. Audit inter vos fornicatio. Et iterum. Congregatis vobis cum meo ſpiritu: tradere hmōi ſathane. In ſecunda vero laudant: ⁊ vt magis ac magis proficiant ꝯmonent. Galathe vero iam nullius criminis arguūtur: niſi hoc tm̄ ꝙ callidiſſimis pſeudoapoſtolis crediderunt. Epheſij ſane nulla reprehenſione ſed multa laude ſunt digni: q: fidē apoſtolicam ſeruauerūt. Philippenſes etiam multo magis collaudant qui nec audire quidē falſos apoſtolos voluerūt. Theſſalonicēſes nihilomin⁹ in duabus epiſtolis omni laude proſequit: eo ꝙ nō ſolum fidem inconcuſſā ſeruauerit veritatis: ſed etiam in perſecutione ciuiū fuerint conſtantes inuenti. Coloſſenſes aūt tales erāt vt cū ab apoſtolo viſi corporaliter non fuiſſent hac laude digni haberentur. Et ſi corpore inquit abſens ſū: ſed ſpiritu vobiſcū ſum gaudens et videns ordinem vr̄m. De hebreis vo quid dicendum eſt: quoꝝ theſſalonicenſes qui plurimū laudati ſunt imitatores facti eſſe dicunt. Sicut ipſe ait. Et vos fratres imitatores facti eſtis eccleſiaꝝ dei q̄ ſunt in iudea. Eadem eni paſſi eſtis ⁊ vos a cōtribulib⁹ veſtris: q̄ et illi a iudeis. Apud ipſos quoqꝫ hebreos eadem cōmemorat dicēs. Nam et vinctis cōpaſſi eſtis: ⁊ rapinā bonoꝝ veſtroꝝ cum gaudio ſuſcepiſtis: cognoſcentes vos habere meliorem et manenteꝫ ſubſtantiam.

Incipit prologus ſpecialis in epiſtolam ad Romanos.

ROmani ſunt qui ex iudeis et gentibus crediderūt. Hi ſuperba contentione volēbāt ſe alterutrū ſupponere. Nam iudei dicebant. Nos ſumus ppl's dei quos ab initio dilexit et fouit: nos circūciſi ex genere abraam ſancta deſcendim⁹ ex ſtirpe. Et notus retro apud iudeam tm̄ deus. Nos de egypto ſignis dei et virtutibus liberati mare ſicco pertranſiuimus pede: cum inimicos noſtros grauiſſimi fluctus inuoluerent. Nobis pluit manna dominus in deſerto: ⁊ quaſi filijs ſuis celeſte pabulum miniſtrauit. Nos die noctuqꝫ in columna nubis ignīſqꝫ preceſſit: vt nobis in inuio iter oſtenderet. Atqꝫ vt cetera eius circa nos immenſa beneficia taceamus: nos ſoli digni fuimus dei legem accipere: et vocem dei loquentis audire eiuſqꝫ cognoſcere voluntatem. In qua lege nobis pro-



Digitized by Google

miſſus eſt chriſtus: ad quos etiam ipſe ſe veniſſe teſtatus eſt dicens. Non veni niſi ad oues que perie= rant domus iſrael: cum vos canes potius q̄ homines appellauerit. Equum ne ergo eſt vt idola ho= die deſerentes quibus ab initio deſeruiſtis nobis comparemini: et non potius in proſelytorum locum ex legis auctoritate et conſuetudine deputemini? Et hoc ipſum non merebamini: niſi q2 larga ſemper dei clementia voluit vos ad noſtram imitationem admittere. Gentes etiam econtrario reſpondebant. Quā to .n. maiora erga vos dei bñficia narrauerit: tāto maioris vos criminis reos eē mōſtrabitis. Sēper .n. his omnibus extitiſtis ingrati. Nā ipſis pedibus quib9 aridū mare tranſiſtis: ludebatis añ idola q̄ feciſtis: et ipſo ore quo paulo ante ob necem aduerſariorū dño cantaueratis: ſimulacra vobis fieri popoſciſtis: il lis oculis quib9 venerando deū in nube vel igni conſpicere ſolebatis: ſimulacra intuebamini. Māna quoq3 vobis faſtidio fuit: et ſemp̄ in deſerto cōtra dñm murmuraſtis: ad egyptū vnde vos manu valida eiecerat redire cupientes. Quid plura? Ita p̄res veſtri crebra ꝓuocatione dñm irritauerunt: vt omnes in heremo morerent̄: nec plus ex ſenioribus eorū q̄ duo hoīes terrā repromiſſionis intrarent. Sed q̄d antiqua repli camus: cū etiā ſi illa minime feciſſetis de hoc ſolo nemo vos dignos venia iudicaret: q dñm xp̄m ꝓphe tarū ſemp̄ vobis vocibus repromiſſū non ſolum ſuſcipe noluiſtis: ſed etiam morte peſſima pemiſtis? Quē vt nos cognouim9 ſtatim credidim9: cum nobis de eo antea non fuerit predicatum. Unde ꝓbat̄ q ido= lis ſeruiuimus non obſtinationi mentis ſed ignorantie deputandum. Qui enim cognitū illico ſequimur: olim vtiq3 ſequeremur ſi antea cognouiſſemus. Sic aūt vos de generis nobilitate iactatis: quaſi non mo rum imitatio magis q̄ carnalis natiuitas filios vos faciat eſſe ſanctorū. Deniq3 eſau ꝛ hyſmael cū de ſtir pe ſint abrae: minie t̄n in filijs reputant̄. His taliter altercātib9: apl's ſe mediū iterponēs ita ꝑtiū dirimit queſtiones: vt neutrū eorū ſua iuſtitia ſalutē meruiſſe confirmet: ambos vero pp̄los et ſcienter ꝛ grauiter deliquiſſe. Judeos quidem q per preuaricationē legis deū inhonorauerint: gētes vero q cū cognitū de creatura creatorem vt deū debuerint venerari: gloriā ei9 in manu facta mutauerint ſimulacra. Utroſq3 etiam ſimiliter veniā conſecutos: equales eſſe veriſſima ratione demōſtrat. Preſertim cū in eadem lege predictum ſit ꝛ iudeos ꝛ gētes ad chriſti fidem vocādos eſſe oſtendat. Quāobrē viciſſim eos hūilians ad pacem ꝛ concordiam cohortatur. Explicit prologus.

Incipit argumentum.

ROmani ſunt partis italie. Hi preuēti ſunt a falſis apoſtolis: ꝛ ſub nomine domini noſtri ieſu chriſti in legem ꝛ prophetas erant inducti. Hos reuocat apoſtolus ad veram et euangelicam fidem ſcri= bens eis a corintho. Explicit argumentum.

Ἡ τοῦ ἁγίου παύλου πρὸς
ῥωμαίους ἐπιστολή. Cap. i.

π Παῦλος δοῦλος ἰησοῦ χριστοῦ
κλητὸς ἀπόστολος, ἀφωρισμένος
εἰς εὐαγγέλιον θεοῦ ὃ προεπαγ
γείλατο διὰ τῶν προφητῶν αὐ=
τοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐ=
τοῦ τοῦ γενομένου ἐκ σπέρματος δαυὶδ κα
τὰ σάρκα, τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυ
νάμει κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστά
σεως νεκρῶν ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡ=
μῶν, δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν
εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν ὑ
πὲρ τοῦ ὀνόματος αὐτοῦ, ἐν οἷς ἐστὲ καὶ ὑ
μεῖς κλητοὶ ἰησοῦ χριστοῦ, πᾶσι τοῖς οὖσιν
ἐν ῥώμῃ ἀγαπητοῖς θεοῦ κλητοῖς ἁγίοις.
Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡ
μῶν, καὶ κυρίου ἰησοῦ χριστοῦ. Πρῶτον
μὲν εὐχαριστῶ τῷ θεῷ μου διὰ ἰησοῦ χρι
στοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑ=
μῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ.
μάρτυς γάρ μού ἐστιν ὁ θεός, ᾧ λατρεύω
ἐν τῷ πνεύματί μου ἐν τῷ εὐαγγελίῳ τοῦ

Incipit epiſtola beati Pauli apo=
ſtoli ad Romanos. Cap. i.

PAulus ſeruus ieſu xp̄i voca
tus apoſtolus: ſegregatus
ī euangeliū dei q̄d añ ꝓ
miſerat per prophetas ſuos
in ſcripturis ſanctis de filio ſuo
qui factus eſt ex ſemine dauid ſcdm̄
carnē: q̄ predeſtinat9 ē fili9 dei in Xvtu
te ſcōꝝ ſpm̄ ſanctificatōis ex reſurrectio
ne mortuorum ieſu chriſti domini noſtri
per quē accepim9 gratiā ꝛ apoſtolatum
ad obediendū fidei in oib9 gentib9 ꝓ
nomine eius in quibus eſtis et vos
vocati ieſu chriſti: oib9 qui ſunt
rome dilectis dei vocatis ſanctis.
Gratia vobis et pax a deo patre nr̄o
et domino ieſu chriſto. Primum
quidē gratias ago deo meo ꝑ ieſū xp̄m
pro oibus vobis: quia fides veſtra
annunciatur in vniuerſo mundo.
Teſtis enim mihi eſt deus cui ſeruio 1.Th.1.a.
in ſpiritu meo in euangelio

υιού αυτού, ως αδιαλείπτως μνείαν υ-
μών ποιούμαι πάντοτε επί των προσευχών
μου, δεόμενος είπως ήδη ποτέ ευοδωθή-
σομαι εν τω θελήματι του θεού ελθείν προς
υμάς. επιποθώ γαρ ιδείν υμάς, ίνα τι με-
ταδώ χάρισμα υμίν πνευματικόν εις το στη-
ριχθήναι υμάς. τούτο δε εστί συμπαρα-
κληθήναι εν υμίν διά της εν αλλήλοις πίστε-
ως υμών τε και εμού. ου θέλω δε υμάς α-
γνοείν αδελφοί, ότι πολλάκις προεθέμην
ελθείν προς υμάς, και εκωλύθην άχρι του
δεύρο, ίνα τινά καρπόν σχώ εν υμίν, καθώς
και εν τοις λοιποίς έθνεσιν. έλλησί τε και βαρ-
βάροις σοφοίς τε και ανοήτοις οφειλέτης ει-
μί. ούτως το κατ εμέ πρόθυμον και υμίν τοις
εν ρώμη ευαγγελίσασθαι. ου γαρ επαισχύ-
νομαι το ευαγγέλιον του χριστού. δύνα-
μις γαρ θεού εστίν εις σωτηρίαν παντί τω
πιστεύοντι ιουδαίω τε πρώτον και έλληνι.
δικαιοσύνη γαρ θεού εν αυτώ αποκαλύπ-
τεται εκ πίστεως εις πίστιν, καθώς γέγραπ-
ται. ο δε δίκαιος εκ πίστεως ζήσεται. αποκα-
λύπτεται γαρ οργή θεού απ ουρανού
επί πάσαν ασέβειαν και αδικίαν ανθρώπων
των την αλήθειαν εν αδικία κατεχόντων. δι-
ότι το γνωστόν του θεού φανερόν εστιν εν
αυτοίς. ο γαρ θεός αυτοίς εφανέρωσε. τα
γαρ αόρατα αυτού από κτίσεως κόσμου
τοις ποιήμασι νοούμενα καθοράται, ή τε αΐ-
διος αυτού δύναμις και θειότης, εις το εί-
ναι αυτούς αναπολογήτους. διότι γνόντες
τον θεόν, ουχ ως θεόν εδόξασαν ή ευχαρίσ-
τησαν, αλλ εματαιώθησαν εν τοις διαλογισ-
μοίς αυτών, και εσκοτίσθη η ασύνετος αυ-
τών καρδία. φάσκοντες είναι σοφοί, εμω-
ράνθησαν. και ήλλαξαν την δόξαν του αφ-
θάρτου θεού εν ομοιώματι εικόνος φθαρτού
ανθρώπου, και πετεινών και τετραπόδων
και ερπετών. διό και παρέδωκεν αυτούς ο
θεός εν ταις επιθυμίαις των καρδιών αυ-
τών εις ακαθαρσίαν, του ατιμάζεσθαι τα σώ-
ματα αυτών εν εαυτοίς. οίτινες μετήλλαξαν
την αλήθειαν του θεού εν τω ψεύδει, και
εσεβάσθησαν και ελάτρευσαν τη κτίσει πα-
ρα τον κτίσαντα, ος εστίν ευλογητός εις τους
αιώνας αμήν. διατούτο παρέδωκεν αυτούς
ο θεός εις πάθη ατιμίας. αι τε γαρ θήλειαι
αυτών μετήλλαξαν την φυσικήν χρήσιν εις
την παραφύσιν. ομοίως και οι άρρενες αφέμ-
τες την φυσικήν χρήσιν της θηλείας εξεκαύθη-
σαν εν τη ορέξει αυτών εις αλλήλους, άρσε-
νες εν άρσεσι την ασχημοσύνην κατεργαζό-
μενοι. και την αντιμισθίαν ην έδει της πλάνης

filii eius: quod ſine intermiſſione memoriam veſtri
facio ſemper in orationibus meis: obſecrans ſi quo
modo tandem aliquando proſperum iter habeam
in voluntate dei veniendi ad
vos. Deſidero enim videre vos: ut aliquid B
impartiar vobis gratie ſpiritualis ad confirman-
dos vos: id eſt ſimul conſolari
in vobis per eam que invicem eſt fidem
veſtram atque meam. Nolo autem vos igno-
rare fratres: quia ſepe propoſui
venire ad vos: et prohibitus ſum uſque
adhuc: ut aliquem fructum habeam in vobis ſic-
ut et in ceteris gentibus. Grecis ac bar-
baris: ſapientibus et inſipientibus debitor ſum.
Itaque quod in me promptum eſt et vobis
qui rome eſtis evangelizare. Non enim eru-
beſco evangelium. Virtus
enim dei eſt in ſalutem omni
credenti: iudeo primum et greco.
Iuſtitia enim dei in eo revelatur
ex fide in fidem: ſicut ſcriptum eſt.
Iuſtus autem ex fide vivet. Revelatur Abach. 2. a. Heb. 10. d.
enim ira dei de celo
ſuper omnem impietatem et iniuſtitiam hominum eorum qui
veritatem dei in iniuſtitia detinent: quia quod
notum eſt dei: manifeſtum eſt in
illis. Deus enim illis manifeſtavit. C
Inviſibilia enim ipſius a creatura mundi
per ea que facta ſunt intellecta conſpiciuntur: ſem-
piterna quoque eius virtus et divinitas: ita ut
ſint inexcuſabiles. Quia cum cognoviſ-
ſent deum non ſicut deum glorificaverunt aut gra-
tias egerunt: ſed evanuerunt in cogitatio-
nibus ſuis: et obſcuratum eſt inſipiens
cor eorum. Dicentes enim ſe eſſe ſapientes ſtul- 1. Cor. 5. d. Ephe. 4. e.
ti facti ſunt. Et mutaverunt gloriam incorru-
ptibilis dei in ſimilitudinem imaginis corru-
ptibilis hominis: et volucrum et quadrupedum
et ſerpentium. Propter quod tradidit illos
deus in deſideria cordis eorum
in immunditiam: ut contumeliis afficiant corpora
ſua in ſemetipſis. Qui commutaverunt
veritatem dei in mendacium: et
coluerunt et ſervierunt creature potius quam
creatori: qui eſt benedictus in
ſecula amen. Propterea tradidit illos D
deus in paſſiones ignominie. Nam femine
eorum immutaverunt naturalem uſum in eum uſum qui eſt
contra naturam. Similiter autem et maſcu-
li relicto naturali uſu femine exarſerunt
in deſideriis ſuis in invicem: maſculi
in maſculos turpitudinem operantes:
et mercedem quam oportuit erroris



Digitized by Google

αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ, μεστοὺς φθόνου, φόνου, ἔριδος δόλου, κακοηθείας, ψιθυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς, ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας. οἵτινες τὸ δικαίωμα τοῦ θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι.

Cap. 2.

Διὸ ἀναπολόγητος εἶ ὦ ἄνθρωπε πᾶς ὁ κρίνων. ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις. τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. οἴδαμεν δὲ ὅτι τὸ κρίμα τοῦ θεοῦ ἐστὶ κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας. λογίζῃ δὲ τοῦτο ὦ ἄνθρωπε ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ. ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς. ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει. κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι, ζωὴν αἰώνιον. τοῖς δὲ ἐξ ἐριθείας, καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργή. θλίψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, ἰουδαίου τε πρῶτον καὶ ἕλληνος. δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, ἰουδαίῳ τε πρῶτον καὶ ἕλληνι. οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ θεῷ. ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται. καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσὶ νόμος, οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούν=

sui in semetipsis recipientes. Et sicut non probauerunt deum habere in notitia: tradidit illos deus in reprobum sensum: vt faciant ea que non conueniunt: repletos omni iniquitate: malicia: fornicatione: auaricia: nequitia: plenos inuidia: homicidijs: contentione: dolo: malignitate: susurrones: detractores: deo odibiles: contumeliosos: superbos: elatos: inuentores malorum: parentibus non obedientes: insipientes: incompositos: sine affectione: absque federe: sine misericordia. Qui cum iustitiam dei cognouissent: non intellexerunt quoniam qui talia agunt digni sunt morte: non solum qui ea faciunt: sed et qui consentiunt facientibus.

Cap. 2.

Propter quod inexcusabilis es o homo A
omnis qui iudicas. In quo enim alterum iu Mat. 7. a.
dicas teipsum condemnas. Eadem enim agis que iudicas. Scimus enim quoniam iudicium dei est secundum veritatem in eos qui talia agunt. Existimas autem hoc o homo qui iudicas eos qui talia agunt et facis ea: quia tu effugies iudicium dei? An diuitias bonitatis eius et patientie et longanimitatis contemnis? Ignoras quoniam benignitas dei ad penitentiam te adducit? Secundum autem duritiam tuam et impenitens cor thesaurizas tibi iram in die ire et reuelationis iusti iudicij dei: qui reddet vnicuique secundum opera eius. His quidem qui secundum patientiam boni operis glo=
riam et honorem et incorruptionem querentibus vi B
tam eternam. His autem qui sunt ex contentione et qui non acquiescunt veritati credunt autem iniquitati: ira et indignatio. tribulatio et angustia in omnem animam hominis operantis malum iudei primum et greci. Gloria autem et honor et pax omni operanti bonum: iudeo
primum et greco. Non enim est acceptio perso= 1. Pe. 1. c.
narum apud deum. Quicunque enim sine lege Coll. 3. d. Ephe. 6. b.
peccauerunt: sine lege peribunt. Et Act. 10. c.
quicunque in lege peccauerunt per legem iudica= Iaco. 2. b.
buntur. Non enim auditores legis iusti sunt Mat. 7. d.
apud deum: sed factores legis Iaco. 1. d.
iustificabuntur. Cum enim gentes que legem non habent naturaliter ea que legis sunt faciunt: eiusmodi legem non habentes ipsi sibi sunt
ostendunt opus legis scriptum lex: qui C
in cordibus suis: testimonium reddente illis conscientia ipsorum: et inter se inuicem cogitationum accusantium

Digitized by Google

των, ἢ καὶ ἀπολογουμένων, ἐν ἡμέρα ὅτε
κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, κα=
τὰ τὸ εὐαγγέλιόν μου διὰ ἰησοῦ χριστοῦ.
εἰ δὲ σὺ ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύ=
ῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν θεῷ, καὶ γινώσ=
κεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέρον
τα κατηχούμενος ἐκ τοῦ νόμου, πέποιθάς
τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν
ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδάσκα=
λον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώ=
σεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ. ὁ οὖν δι
δάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις. ὁ κη=
ρύσσων μὴ κλέπτειν, κλέπτεις. ὁ λέγων μὴ
μοιχεύειν, μοιχεύεις. ὁ βδελυσσόμενος
τὰ εἴδωλα, ἱεροσυλεῖς. ὃς ἐν νόμῳ καυ=
χᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου
τὸν θεὸν ἀτιμάζεις. τὸ γὰρ ὄνομα τοῦ θεοῦ
δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσι, κα=
θὼς γέγραπται. περιτομὴ μὲν γὰρ ὠφελεῖ
ἐὰν νόμον πράσσῃς, ἐὰν δὲ παραβάτης νό=
μου ἧς, ἡ περιτομή σου ἀκροβυστία γέγο=
νεν. ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα
τοῦ νόμου φυλάσσῃ, οὐχὶ ἡ ἀκροβυστία
αὐτοῦ εἰς περιτομὴν λογισθήσεται; καὶ κρι
νεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον τε=
λοῦσα σὲ, τὸν διὰ γράμματος καὶ περιτο
μῆς παραβάτην νόμου. οὐ γὰρ ὁ ἐν τῷ φα
νερῷ ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ
ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ
ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύμα
τι οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀν=
θρώπων ἀλλ' ἐκ θεοῦ. Cap. 3.

Τί οὖν τὸ περισσὸν τοῦ ἰουδαίου, ἢ τίς
ἡ ὠφέλεια τῆς περιτομῆς. πολὺ κατὰ
πάντα τρόπον. πρῶτον μὲν γὰρ ὅτι ἐπι=
στεύθησαν τὰ λόγια τοῦ θεοῦ. τί γὰρ εἰ ἠ=
πίστησάν τινες. μὴ ἡ ἀπιστία αὐτῶν τὴν πί
στιν τοῦ θεοῦ καταργήσει. μὴ γένοιτο. γι=
νέσθω δὲ ὁ θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος
ψεύστης, καθὼς γέγραπται. ὅπως ἂν δι
καιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν
τῷ κρίνεσθαί σε. εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ
δικαιοσύνην συνίστησι, τί ἐροῦμεν. μὴ ἄ=
δικος ὁ θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν. κατὰ ἄν=
θρωπον λέγω. μὴ γένοιτο. ἐπεὶ πῶς κρινεῖ
ὁ θεὸς τὸν κόσμον. εἰ γὰρ ἡ ἀλήθεια τοῦ θε
οῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν εἰς
τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτω
λὸς κρίνομαι, καὶ μὴ καθὼς βλασφημούμε
θα, καὶ καθώς φασί τινες ἡμᾶς λέγειν, ὅτι
ποιήσωμεν τὰ κακά, ἵνα ἔλθῃ τὰ ἀγαθά.
ὧν τὸ κρίμα ἔνδικόν ἐστι. τί οὖν. προεχό=
μεθα. οὐ πάντως. προῃτιασάμεθα γὰρ ἰου

aut etiam defendentium in die cum
iudicabit deus occulta hominum scdm
euangelium meum per iesum christum.
Si aūt tu iudeus cognominaris: et requie
ſcis in lege: et gloriaris in deo: et noſti
voluntatem eius: et probas vtiliora
inſtructus per legem: confidis
teipſum eſſe ducē cecorum: lumē eorum qui
in tenebris ſūt: eruditorē inſipiētiū: ma
giſtrū infantiū: habentē formam ſcientie
et veritatis in lege. Qui ergo
alium doces teipſum nō doces. Qui pre=
dicas nō furādū furaris. Qui dicis nō
mechandum: mecharis. Qui abomina
ris idola: ſacrilegiū facis. Qui in lege
per preuaricationem legis gloriaris:
deum inhonoras. Nomen enim dei
per vos blaſphematur inter gētes: ſicut
ſcriptum eſt. Circuncisio quidem pdeſt
ſi legem obſerues: ſi aūt preuaricator le
gis ſis: circuncisio tua preputium facta ē.
Si igitur preputium iuſtitias
legis cuſtodiat: nonne preputium
illius in circuncisionē reputabitur? Et iudi
cabit id quod ex natura ē preputiū legē cōſū=
mans: te qui per litteram et circuncisio
nem preuaricator legis es. Nō enim qui in ma
eſſe negocio. Igitur ⁊ ſi ſcripſi
vobis: nõ pp̄ eũ q̃ fecit iniuriã nec
pp̄ euꝫ q̃ paſſus eſt: ſz ad manifeſtãdaꝫ
ſollicitudinẽ nr̃aꝫ quã habem9 ꝓ vobis
coram deo. Ideo D
ↄſolati ſum9. In ↄſolatiõe aũt noſtra
abũdãti9 magis gauiſi ſum9 ſuper
gaudio titi: q2 refectus eſt ſpiritus
eius ab oĩbus vob̃. Et ſi q̃d apd̄ illũ
de vobis gl̃iat9 ſũ: non ſum cõfuſus:
ſz ſicut oĩa vob̃ in veritate locuti ſum9
ita ⁊ gloriatio nr̃a q̃ fuit ad titũ veritas
facta eſt. Et viſcera eius
abũdanti9 in vobis ſunt: reminiſcẽtis
omnium veſtrum obedientiam: quõ cũ
timore ⁊ tremore excepiſtis illũ. Gau
deo ꝙ in oĩb9 confido in vobis. Cap.8.
Notã aũt facim9 vobis frẽs gratiaꝫ A
dei que data eſt in eccleſijs
macedonie: et ꝙ in multo experimẽto
tribulatiõis abũdãtia gaudij ipoꝝ fuit:
et altiſſima paupertas eorum abũdauit
in diuitias ſimplicitatis eorum.
Qꝛ ſcdõꝫ ṽtutẽ teſtimoniũ illis reddo: ⁊
volũtarij fuerũt cũ multa ſupra ṽtutẽ
exhortatiõe obſecrãtes nos grãꝫ ⁊ cõi-
cationẽ miſterijqd̃ fit in ſanctos.
Et non ſicut ſperauimus: ſed
ſemetipos dederũt: pͥmũ dño: deide no
bis p̄ voluntatem dei: ita vt rogaremus
tituꝫ vt quemadmodum cepit ita
⁊ perficiat in vobis etiam gratiaꝫ iſtã.
Sꝫ ſicut in oĩb9 abũdatis fide B
⁊ ſermone ⁊ ſcientia ⁊ oĩ ſollicitudine:
⁊ inſup et charitate vr̃a in nos: vt et
in hac grã abundetis. Non quaſi
imperans dico: ſz per alioꝝ ſollicitudi
nẽ etiaꝫ vr̃e charitatis ingenium bonum
comprobans. Scitis enim gratiam Roma.10.c Jaco.1.a.
dñi nr̃i ieſu xp̄i: qm̃ pp̄ vos egen9 fa-
ctus eſt cum eſſet diues: vt illius
inopia vos diuites eſſetis. Et ↄſiliũ in
hoc do. Hoc ei uobis utile eſt:
qui non ſolum facere ſed
uelle cepiſtis ab anno priore. Nunc
uero ⁊ facto perficite: ut quemadmodũ
ꝓmptus eſt aius uolũtatis: ita ſit ⁊ ꝑfi-
ciendi ex eo qd̃ hẽtis. Si .n. uoluntas
ꝓmpta ẽ: ſꝫ id qd̃ hꝫ accepta eſt: non
ſꝫ id qd̃ nõ hꝫ. Nõ ei ut alijs ſit remiſ
ſio vob̃ aũt tribl'atõ: ſz ex eq̃litate i ꝑñti



Digitized by Google

καιρῷ, τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως γένηται ἰσότης, καθὼς γέγραπται. ὁ τὸ πολὺ οὐκ ἐπλεόνασε, καὶ ὁ τὸ ὀλίγον οὐκ ἠλαττόνησε. χάρις δὲ τῷ θεῷ τῷ διδόντι τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ τίτου, ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο, σπουδαιότερος δὲ ὑπάρχων αὐθαίρετος ἐξῆλθε πρὸς ὑμᾶς. συνεπέμψαμεν δὲ μετ᾽ αὐτοῦ τὸν ἀδελφὸν, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν. οὐ μόνον δὲ, ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν συνέκδημος ἡμῶν, σὺν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν πρὸς τὴν αὐτοῦ τοῦ κυρίου δόξαν καὶ προθυμίαν ὑμῶν. στελλόμενοι τοῦτο, μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν. προνοούμενοι καλὰ, οὐ μόνον ἐνώπιον κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν ὃν ἐδοκιμάσαμεν ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα, νυνὶ δὲ πολὺ σπουδαιότερον, πεποιθήσει πολλῇ τῇ εἰς ὑμᾶς, εἴτε ὑπὲρ τίτου κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς συνεργὸς, εἴτε ἀδελφοὶ ἡμῶν ἀπόστολοι ἐκκλησιῶν, δόξα χριστοῦ. τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν, εἰς αὐτοὺς ἐνδείξασθε εἰς πρόσωπον τῶν ἐκκλησιῶν. Cap.9.

Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περισσόν μοι ἐστὶ τὸ γράφειν ὑμῖν. οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν ἣν ὑπὲρ ὑμῶν καυχῶμαι μακεδόσιν, ὅτι ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι, καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας. ἔπεμψα δὲ τοὺς ἀδελφοὺς ἵνα μὴ τὸ καύχημα ἡμῶν τὸ ὑπὲρ ὑμῶν κενωθῇ ἐν τῷ μέρει τούτῳ, ἵνα καθὼς ἔλεγον παρεσκευασμένοι ἦτε, μήπως ἐὰν ἔλθωσιν σὺν ἐμοὶ μακεδόνες καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκευάστους καταισχυνθῶμεν ἡμεῖς, ἵνα μὴ λέγωμεν ὑμεῖς ἐν τῇ ὑποστάσει ταύτῃ τῆς καυχήσεως. ἀναγκαῖον οὖν ἡγησάμην παρακαλέσαι τοὺς ἀδελφοὺς ἵνα προέλθωσιν εἰς ὑμᾶς, καὶ προκαταρτίσωσι τὴν προκατηγγελμένην εὐλογίαν ὑμῶν ταύτην ἑτοίμην εἶναι, οὕτως ὡς εὐλογίαν, καὶ μὴ ὡς πλεονεξίαν. τοῦτο δὲ, ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει, καὶ ὁ σπείρων ἐπ᾽ εὐλογίαις, ἐπ᾽ εὐλογίαις καὶ θερίσει. ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης. ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ θεός. δυνατὸς δὲ ὁ θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα ἐν παντὶ πάντο-

tempore: vestra abundantia illorum inopiam suppleat: ut et illorum abundantia vestre inopie sit supplementum: ut fiat equalitas sicut scriptum est. Qui multum non abundavit: Exo.16.d. et qui modicum non minoravit. C

Gratias autem ago deo qui dedit eandem sollicitudinem pro vobis in corde titi: quoniam exhortationem quidem suscepit: sed cum sollicitior esset: sua voluntate profectus est ad vos. Misimus etiam cum illo fratrem nostrum: cuius laus est in evangelio per omnes ecclesias. Non solum autem: sed et ordinatus est ab ecclesiis comes peregrinationis nostre in hanc gratiam que ministratur a nobis ad domini gloriam et destinatam voluntatem nostram. Devitantes hoc ne quis nos vituperet in hac plenitudine que ministratur a nobis in domini gloriam. D Providemus enim bona non solum coram deo: sed etiam coram hominibus. Roma.12.d Misimus autem cum illis et fratrem nostrum quem probavimus in multis sepe sollicitum esse: nunc autem multo sollicitiorem: confidentia multa in vos: sive pro tito qui est socius meus et in vobis adiutor: sive fratres nostri apostoli ecclesiarum gloria christi. Ostensionem ergo que est charitatis vestre et nostre glorie pro vobis: in illos ostendite in faciem ecclesiarum. Cap.9.

Nam de ministerio quod fit in sanctos: ex abundanti est mihi scribere vobis. A Scio enim promptum animum vestrum pro quo de vobis glorior apud macedones: quoniam et achaia parata est ab anno preterito: et vestra emulatio provocavit plurimos. Misimus autem fratres ut ne quod gloriamur de vobis evacuetur in hac parte: ut quemadmodum dixi parati sitis: ne cum venerint macedones mecum et invenerint vos imparatos: erubescamus nos ut non dicamus vos in hac substantia. B Necessarium ergo existimavi rogare fratres ut preveniant ad vos: et preparent repromissam benedictionem hanc paratam esse: sic quasi benedictionem: non quasi avariciam. Hoc autem dico. Qui parce seminat parce et metet: et qui seminat in benedictionibus de benedictionibus et metet. C Unusquisque prout destinavit in corde suo: non ex tristitia aut ex necessitate. Hilarem enim datorem diligit deus. Eccl.35.b. Potens est autem deus omnem gratiam abundare facere in vobis: ut in omnibus sem-

Digitized by Google

τε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν καθὼς γέγραπται. ἐσκόρπισεν ἔδωκε τοῖς πένησιν ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι, καὶ πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ γενήματα τῆς δικαιοσύνης ὑμῶν, ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ θεῷ. ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ θεῷ διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης, δοξάζοντες τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον τοῦ χριστοῦ, καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτούς καὶ εἰς πάντας, καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν, ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ θεοῦ ἐφ' ὑμῖν. χάρις δὲ τῷ θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ.

Αὐτὸς δὲ ἐγὼ παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς. δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει ἧ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας. ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα. τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ, καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. τὰ κατὰ πρόσωπον βλέπετε. εἴ τις πέποιθεν ἑαυτῷ χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς χριστοῦ, οὕτω καὶ ἡμεῖς χριστοῦ. ἐάν τε γὰρ καὶ περισσότερον τι καυχήσωμαι περὶ τῆς ἐξουσίας ἡμῶν ἧς ἔδωκεν ὁ κύριος ἡμῖν εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν ὑμῶν, οὐκ αἰσχυνθήσομαι. ἵνα δὲ μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν, ὅτι αἱ μὲν ἐπιστολαί φησί βαρεῖαι καὶ ἰσχυραί, ἡ δὲ παρρησία τοῦ σώματος ἀσθενὴς καὶ ὁ λόγος ἐξουθενημένος. τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί ἐσμεν τῷ λόγῳ δι' ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ. οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων, ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς με

omnem ſufficientiam habẽtes abundetis in omne opus bonũ: ſicut ſcriptũ ẽ. Diſperſit: dedit pauperibus: iuſtitia eius manet in ſeculũ ſeculi. Qui aũt adminiſtrat ſemẽ ſeminãti: et panẽ ad mãducãdũ pſtabit: et multiplicabit ſemẽ vrm: et augebit icremẽta frugũ iuſtitie vrẽ: vt in omnibus locupletati abũdetis i oẽm ſimplicitatẽ q̃ opat̃ p nos grãrũ actionẽ deo. Qm miniſteriũ huius officij non ſolum ſupplet ea que deſunt ſanctis: ſed etiã abundat per multas grãrũ actiões in dño p pbationẽ miniſterij huius: glorificantes deum in obedientia confeſſionis veſtre in euangelio xpi: et ſimplicitate cõicatiõis vrẽ in illos et in oẽs: et in ipſorũ obſecratione pro vobis deſiderãtiũ vos pp eminentem gratiam dei in vobis. Gratias ago deo ſup inenarrabili dono eius. Cap.10. Fe.iiii.

Ipſe autẽ ego paulus obſecro vos p manſuetudinẽ et modeſtiã chriſti: qui in facie quidem hũilis ſũ iter vos: abſẽs aũt ↄfido in vobis. Rogo aũt vos ne pñs audeã p eã ↄfidẽtiã qua exiſtimor audere in quoſdam q̃ arbitrant̃ nos tanq̃ ſcd'm carnẽ ambulem9. In carne eni ambulantes: non ſcd'm carnem militamus. Nam arma militie nrẽ nõ carnalia ſunt: ſz potẽtia deo ad deſtructionem munitionum: ↄſilia deſtruẽtes et oẽm altitudinem extollẽtẽ ſe aduerſus ſcientiam dei: et i captiuitatẽ redigẽtes oẽm itellectũ i obſequiũ xpi: et in pmptu hñtes vlciſci oẽm inobediẽtiã: cũ ipleta fuerit veſtra obediẽtia. Que ſcd'm faciẽ ſunt videte. Si qs ↄfidit xpi eẽ: hoc cogitet iterum apud ſe: q2 ſicut et ipſe chriſti eſt: ita et nos. Nam et ſi amplius aliquid gloriatus fuero de poteſtate noſtra quã dedit nobis dñs in edificationẽ et nõ i deſtructionẽ vrãm nõ erubeſcã. Ut aũt nõ exiſtimer tanq̃ terrere vos per epiſtolas: quoniã qdẽ inquiunt epl'e graues ſunt et fortes: pñtia aũt corporis infirma: et ſermo contemptibilis. Hoc cogitet q̃ eiuſmodi eſt: q2 q̃les ſumus verbo p epiſtolas abſentes: tales et preſentes in facto. Non .n. audem9 iſerere aut cõparare nos q̃buſdã q̃ ſeipſos cõmẽdant: ſz ipſi in nobis noſmetipſos metientes:

τρούντες, καὶ συγκρίνοντες ἑαυτοὺς ἑαυτοῖς
οὐ συνιοῦσι. ἡμεῖς δὲ οὐχὶ εἰς τὰ ἄμετρα
καυχησόμεθα, ἀλλὰ κατὰ τὸ μέτρον τοῦ
κανόνος οὗ ἐμέρισεν ἡμῖν ὁ θεὸς μέτρου ἐ=
φικέσθαι ἄχρι καὶ ὑμῶν. οὐ γὰρ ὡς μὴ ἐφικ
νούμενοι εἰς ὑμᾶς ὑπερεκτείνομεν ἑαυτούς.
ἄχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν ἐν τῷ εὐαγ
γελίῳ τοῦ Χριστοῦ, οὐκ εἰς τὰ ἄμετρα καυ
χώμενοι ἐν ἀλλοτρίοις κόποις. ἐλπίδα δὲ ἔ
χοντες αὐξανομένης τῆς πίστεως ὑμῶν ἐν
ὑμῖν μεγαλυνθῆναι, κατὰ τὸν κανόνα ἡμῶν
εἰς περισσείαν εἰς τὰ ὑπερέκεινα ὑμῶν ἐ=
υαγγελίσασθαι, οὐκ ἐν ἀλλοτρίῳ κανόνι
εἰς τὰ ἕτοιμα καυχήσασθαι. ὁ δὲ καυχώμε=
νος ἐν κυρίῳ καυχάσθω. οὐ γὰρ ὁ ἑαυτὸν
συνιστῶν, ἐκεῖνος ἐστὶ δόκιμος, ἀλλ' ὃν ὁ
κύριος συνίστησιν. Cap.11.

Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφρο=
σύνῃ, ἀλλὰ καὶ ἀνέχεσθέ μου. ζηλῶ
γὰρ ὑμᾶς ζήλῳ θεοῦ. ἡρμοσάμην γὰρ ὑ=
μᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι
τῷ Χριστῷ. φοβοῦμαι δὲ μήπως ὡς ὁ ὄφις
εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ
οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁ
πλότητος τῆς εἰς τὸν Χριστόν. εἰ μὲν γὰρ ὁ
ἐρχόμενος ἄλλον ἰησοῦν κηρύσσει ὃν οὐκ ἐ
κηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε ὃ
οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον ὃ οὐκ ἐ
δέξασθε, καλῶς ἀνείχεσθε. λογίζομαι γὰρ
μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν ἀποστό=
λων. εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ
γνώσει. ἀλλ' ἐν παντὶ φανερωθέντες ἐν πᾶ
σιν εἰς ὑμᾶς. ἢ ἁμαρτίαν ἐποίησα ἐμαυτὸν τα
πεινῶν ἵνα ὑμεῖς ὑψωθῆτε. ὅτι δωρεὰν τὸ
τοῦ θεοῦ εὐαγγέλιον εὐηγγελισάμην ὑμῖν.
ἄλλας ἐκκλησίας ἐσύλησα λαβὼν ὀψώνι
ον πρὸς τὴν ὑμῶν διακονίαν, καὶ παρὼν
πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς, οὐ κατενάρκησα
οὐδενός. τὸ γὰρ ὑστέρημά μου προσανε
πλήρωσαν οἱ ἀδελφοὶ ἐλθόντες ἀπὸ μακε=
δονίας, καὶ ἐν παντὶ ἀβαρῆ ὑμῖν ἐμαυτὸν
ἐτήρησα καὶ τηρήσω. ἐστὶν ἀλήθεια Χριστοῦ
ἐν ἐμοὶ, ὅτι ἡ καύχησις αὕτη οὐ φραγήσε=
ται εἰς ἐμὲ ἐν τοῖς κλίμασι τῆς ἀχαΐας. διατί
ὅτι οὐκ ἀγαπῶ ὑμᾶς. ὁ θεὸς οἶδεν. ὃ δὲ ποι
ῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν
τῶν θελόντων ἀφορμὴν, ἵνα ἐν ᾧ καυχῶν=
ται εὑρεθῶσι καθὼς καὶ ἡμεῖς. οἱ γὰρ τοιοῦ=
τοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετα=
σχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ καὶ
οὐ θαυμαστόν. αὐτὸς γὰρ ὁ σατανᾶς μετα
σχηματίζεται εἰς ἄγγελον φωτός. οὐ μέγα
οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματί=

⁊ comparantes noſmetipſos nobis.
Nos autem non in immenſum
gloriabimur ſed ſm̄ menſuram — Ephe.4.a. Apo.21.c.
regule q̄ menſus ē nobis de⁹ menſurā p
tigēdi vſq; ad vos. Nō eī quaſi nō ptin — D
gentes ad vos ſuperextendimus nos.
Uſq; ad vos eī peruenimus in euāge=
lio xp̄i: nō in immenſum gloriantes
in alienis laboribus. Spē aūt habētes
creſcentis fidei veſtre in
vobis magnificari ſm̄ regulam noſtrā
i abūdātia: etiā in illa q̄ vltra vos ſūt e=
uangelizare non in aliena regula
in his q̄ preparata ſūt gl'iari. Qui aūt glo — 1.Cor.1.d
riat in dn̄o glorieť. Non eī q̄ ſeipſum — Hiere.9.d.
cōmendat ille probatus eſt: ſed quē
deus commendat. Cap.11.

Utinā ſuſtineretis modicū qd inſipiē — A
tie mee: ſ; ⁊ ſupportate me. Emu
lor eī vos dei emulatiōe: deſpōdi eī vos
vni viro virginē caſtā exhibere
xp̄o. Timeo aūt ne ſicut ſerpens
ſeduxit euam aſtutia ſua:
ita corrūpāť ſenſus vr̄i: ⁊ excidāt a ſipli=
citate q̄ eſt in xp̄o ieſu. Nam ſi
is q̄ venit aliū xp̄m p̄dicat quē nō p̄di=
cauimus: aut alium ſpūm accipitis quē
nō accepiſtis: aut aliud euāgeliū qd nō
recepiſtis: recte pateremini. Exiſtimo eī
nihil me minus feciſſe a magnis apl'is.
Nā ⁊ ſi iperitus ſermone: ſ; nō
ſcientia. In omnibus aūt manifeſt⁹ ſū
vobis. Aut nūqd pctm̄ feci meipm̄ hu=
milians vt vos exaltemini? Qm̄ gratis
euāgeliū dei euāgelizaui vobis:
alias ecclias expoliaui accipiēs ſtipē=
dium ad miniſteriū vr̄m: et cum eſſem
apud vos ⁊ egerē: nulli onerosus fui
Nā qd mihi deerat ſuppleuerunt — B
frēs qui venerunt a macedonia:
⁊ in omnibus ſine onere me vobis
ſeruaui et ſeruabo. Eſt veritas chriſti
in me: qm̄ hec gloriatio non infringeť
in me in regiōibus achaie. Quare?
Quia nō diligo vos? De⁹ ſcit. Qd aūt
facio: ⁊ faciā: vt amputem occaſionem
eoꝝ q̄ volūt occaſiōē: vt in quo gl'iāť
inueniant ſicut ⁊ nos. Nam eiuſmodi
pſeudoapl'i ſūt operarij ſubdoli trāſfigurā=
tes ſe in apoſtolos chriſti. Et
nō mirū. Ipſe eī ſathanas tranſfigurat
ſe in angelū lucis. Nō eſt ergo magnū
ſi miniſtri eius tranſfigurentur

Digitized by Google

ζονται ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ τέ=
λος ἔσται κατὰ τὰ ἔργα αὐτῶν. πάλιν λέ=
γω, μή τις με δόξῃ ἄφρονα εἶναι. εἰ δὲ μή=
γε, κἂν ὡς ἄφρονα δέξασθέ με, ἵνα κἀγὼ μι
κρόν τι καυχήσωμαι. ὃ λαλῶ, οὐ λαλῶ κα
τὰ κύριον, ἀλλ᾽ ὡς ἐν ἀφροσύνῃ ἐν ταύτῃ
τῇ ὑποστάσει τῆς καυχήσεως. ἐπεὶ πολλοὶ
καυχῶνται κατὰ τὴν σάρκα, κἀγὼ καυχή=
σομαι. ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων
φρόνιμοι ὄντες. ἀνέχεσθε γὰρ εἴ τις ὑμᾶς
καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβά=
νει, εἴ τις ἐπαίρεται, εἴ τις ὑμᾶς εἰς πρόσω=
πον δαίρει. κατὰ ἀτιμίαν λέγω, ὡς ὅτι ἡ=
μεῖς ἠσθενήσαμεν. ἐν ᾧ δ᾽ ἄν τις τολμᾷ, ἐν ἀ
φροσύνῃ λέγω, τολμῶ κἀγώ. ἑβραῖοί εἰσι,
κἀγώ. ἰσραηλῖταί εἰσι, κἀγώ. σπέρμα ἀβρα=
άμ εἰσι, κἀγώ. διάκονοι χριστοῦ εἰσι, παρα
φρονῶν λαλῶ, ὑπὲρ ἐγώ. ἐν κόποις περισσο
τέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυ=
λακαῖς περισσοτέρως, ἐν θανάτοις πολλά=
κις. ὑπὸ ἰουδαίων πεντάκις τεσσαράκοντα
παρὰ μίαν ἔλαβον. τρὶς ἐρραβδίσθην. ἅ=
παξ ἐλιθάσθην. τρὶς ἐναυάγησα. νυχθήμερον
ἐν τῷ βυθῷ πεποίηκα. ὁδοιπορίαις πολλά
κις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν,
κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν,
κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κιν
δύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλ
φοις. ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις
πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις
πολλάκις, ἐν ψύχει καὶ γυμνότητι. χω=
ρὶς τῶν παρεκτὸς, ἡ ἐπισύστασίς μου ἡ καθη
μέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. τίς
ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ. τίς σκανδαλίζεται,
καὶ οὐκ ἐγὼ πυροῦμαι. εἰ καυχᾶσθαι δεῖ,
τὰ τῆς ἀσθενείας μου καυχήσομαι. ὁ θεὸς
καὶ πατὴρ τοῦ κυρίου ἰησοῦ χριστοῦ οἶ=
δεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ
ψεύδομαι. ἐν δαμασκῷ ὁ ἐθνάρχης ἀρέτα
τοῦ βασιλέως ἐφρούρει τὴν δαμασκηνῶν
πόλιν πιάσαι με θέλων, καὶ διὰ θυρίδος
ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ
ἐξέφυγον τὰς χεῖρας αὐτοῦ. Cap.12.

Καυχᾶσθαι δή, οὐ συμφέρει μοι. ἐλεύσο
μαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις
κυρίου. οἶδα ἄνθρωπον ἐν χριστῷ πρὸ
ἐτῶν δεκατεσσάρων, εἴτε ἐν σώματι οὐκ οἶ=
δα, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα, ὁ θε=
ὸς οἶδεν, ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρί=
του οὐρανοῦ. καὶ οἶδα τὸν τοιοῦτον ἄνθρω
πον, εἴτε ἐν σώματι εἴτε ἐκτὸς τοῦ σώματος
οὐκ οἶδα, ὁ θεὸς οἶδεν, ὅτι ἡρπάγη εἰς τὸν
παράδεισον, καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ

velut miniſtri iuſtitie: quoꝝ finis
erit ſcd̄m opera ipſorum. Iterum dico
ne quis me putet inſipientē eſſe. Alioqn
velut inſipiētē accipite me: vt ⁊ ego mo
dicū quid glorier. Quod loquor nō loquor
ſm̄ deū: ſꝫ quaſi in inſipientia in hac
ſubſtantia glorie. Quoniam multi C
gloriantur ſm̄ carnē: et ego gloriabor.
Libenter enim ſuffertis inſipientes
cū ſitis ipſi ſapiētes. Suſtinetis eī ſi quis vos
in ſeruitutē redigit: ſi quis deuorat: ſi quis
accipit: ſi quis extollit: ſi quis in facie vos
cedit. Scd̄m ignobilitatē dico: quaſi nos
infirmi fuerim⁹ in hac parte. In quo quis au
det in inſipiētia dico: audeo ⁊ ego. He=
brei ſūt: ⁊ ego. Iſraelite ſūt: ⁊ ego. Se
mē abrae ſūt: et ego. Miniſtri xp̄i ſūt: ⁊ 1.Cor.4.a
ego. Ut min⁹ ſapiēs dico: pl⁹ ego. In ſup.6.a. 1.The.3.c.
laborib⁹ plurimis: in carcerib⁹ abūdāti
us: in plagis ſupra modū: in mortib⁹ fre
quēter. A iudeis quinquies quadragenas
vna min⁹ accepi. Ter virgis ceſus ſum:
ſemel lapidatus ſū: ter naufragiū feci.
Nocte ⁊ die in profundo maris fui. In iti
nerib⁹ ſepe: periculis fluminū: periculis la
tronū: periculis ex genere: periculis ex gēti D
b⁹: periculis in ciuitate: periculis in ſolitu
dine: periculis in mari: periculis in falſis fra
tribus. In labore ⁊ erumna: in vigilijs
multis. In fame ⁊ ſiti: in ieiunijs 2.The.3.b.
multis. In frigore ⁊ nuditate: preter illa Deute.25.b
que extrinſec⁹ ſūt: inſtātia mea quotidiana:
ſollicitudo omnium eccleſiarū. Quis
infirmatur: et ego nō infirmor. Quis ſcan
⁊ ego nō vror. Si gliari opꝫ: [dalizat
que infirmitatis mee ſunt gliabor. Deus
⁊ pater domini noſtri ieſu chriſti ſcit
qui eſt benedictus in ſecula quod non
mentior. Damaſci prepoſit⁹ gētis arete
regis cuſtodiebat ciuitatē damaſcenoꝝ vt
me comprehenderet: ⁊ per feneſtraꝫ Act.9.c.
in ſporta dimiſſus ſum per murū: ⁊ ſic
effugi manus eius. Cap.12.

Si gliari opꝫ: nō expedit quidē. Ue= A
niā autē ad viſiōes ⁊ reuelationes
dn̄i. Scio hoīeꝫ in chriſto ante
annos quatuordecim ſiue in corpore
ſiue extra corpus neſcio: deus
ſcit: raptū hm̄oi vſqꝫ ad tertium
celum. Et ſcio huiuſmodi hominē
ſiue in corpore ſiue extra corpus
neſcio: deus ſcit quoniam raptus eſt in
paradiſū: ⁊ audiuit arcana verba q̄



Digitized by Google

ουκ εξόν ανθρώπω λαλήσαι. υπέρ του τοι=
ούτου καυχήσομαι, υπέρ δε εμαυτού ου
καυχήσομαι ει μή εν ταις ασθενείαις μου. ε=
άν γαρ θελήσω καυχήσασθαι, ουκ έσομαι ά
φρων. αλήθειαν γαρ ερώ. φείδομαι δε μη
τις εις εμέ λογίσηται υπέρ ο βλέπει με ή α
κούει τι εξ εμού. και τη υπερβολή των απο
καλύψεων ίνα μη υπεραίρωμαι, εδόθη μοι
σκόλοψ τη σαρκί άγγελος σατάν, ίνα με
κολαφίζη, ίνα μη υπεραίρωμαι. υπέρ τού=
του τρις τον κύριον παρεκάλεσα ίνα αποστή
απ εμού, και είρηκέ μοι. αρκεί σοι η χάρις
μου. η γαρ δύναμίς μου εν ασθενεία τελει
ούται. ήδιστα ουν μάλλον καυχήσομαι εν
ταις ασθενείαις μου, ίνα επισκηνώση επ εμέ
η δύναμις του χριστού. διό ευδοκώ εν ασ
θενείαις, εν ύβρεσιν εν ανάγκαις, εν διωγμοίς
εν στενοχωρίαις υπέρ χριστού. όταν γαρ
ασθενώ τότε δυνατός ειμί. γέγονα άφρων
καυχώμενος, υμείς με ηναγκάσατε. εγώ
γαρ ώφειλον υφ υμών συνίστασθαι. ουδέν
γαρ υστέρησα των υπέρ λίαν αποστόλων.
ει και ουδέν ειμί, τα μεν σημεία του απο=
στόλου κατειργάσθαι εν υμίν εν πάση υπο
μονή, εν σημείοις και τέρασι και δυνάμεσι.
τι γαρ εστί ο ηττήθητε υπέρ τας λοιπάς εκ
κλησίας, ει μή ότι αυτός εγώ ου κατενάρκη=
σα υμών. χαρίσασθέ μοι την αδικίαν ταύτην.
ιδού τρίτον τούτο ετοίμως έχω ελθείν
προς υμάς και ου κατενάρκησα υμών. ου
γαρ ζητώ τα υμών αλλά υμάς. ου γαρ ο=
φείλει τα τέκνα τοις γονεύσι θησαυρίζειν, αλ
λ οι γονείς τοις τέκνοις. εγώ δε ήδιστα δα=
πανήσω και εκδαπανηθήσομαι υπέρ των ψυ
χών υμών, ει και περισσοτέρως υμάς αγα=
πών, ήττον αγαπώμαι. έστω δε. εγώ ου κα
τεβάρησα υμάς, αλλ υπάρχων πανούργος,
δόλω υμάς έλαβον. μη τινά ων απέσταλ
κα προς υμάς δι αυτού επλεονέκτησα υ=
μάς. παρεκάλεσα τίτον και συναπέστειλα
τον αδελφόν. μήτι επλεονέκτησεν υμάς τί=
τος. ου τω αυτώ πνεύματι περιεπατήσαμεν,
ου τοις αυτοίς ίχνεσι. πάλιν δοκείτε ότι υ
μίν απολογούμεθα. κατενώπιον του θεού εν
χριστώ λαλούμεν. τα δε πάντα αγαπη=
τοί υπέρ της υμών οικοδομής. φοβούμαι
γαρ μήπως ελθών ουχ οίους θέλω εύρω
υμάς, καγώ ευρεθώ υμίν οίον ου θέλετε.
μήπως έρις, ζήλοι, θυμοί, εριθείαι, καταλα
λιαί, ψιθυρισμοί, φυσιώσεις, ακαταστασίαι.
μη πάλιν ελθόντα με ταπεινώσει ο θεός
μου προς υμάς, και πενθήσω πολλούς των

non licet homini loqui. Pro huiuſmodi
gloriabor: pro me autē nihil
niſi in infirmitatibus meis. Nam τ ſi
voluero gloriari: nō ero inſipiens.
Veritatem enim dicam. Parco autē: ne
quis me exiſtimet ſupra id quod videt in me
aut audit aliquid ex me. Et ne magni= B
tudo revelationū extollat me: datus eſt
mihi ſtimulus carnis mee angelus ſatha=
ne qui me colaphizet. Propter quod
ter dominum rogavi vt diſcederet
a me: τ dixit mihi. Sufficit tibi gratia Deute.5.d
mea. Nā virtus in infirmitate perficitur.
Libenter igitur gloriabor in
infirmitatibus meis vt inhabitet in me
virtus χρi. Propter quod placeo mihi in
infirmatibus meis: in contumelijs: in neceſ
ſitatibus: in perſecutiōibus: in anguſtijs pro
χρo. Cū enim infirmor tūc potēs ſum.
Factus ſum inſipiēs: vos me coegiſtis. E
go enim a vobis debui cōmēdari. Nihil
enim minus feci ab his qui ſūt ſupra modū a
poſtoli. Tā etſi nihil ſū: ſigna tamen apoſto C
latus mei factā ſūt ſuper vos in omni patiē
tia: in ſignis τ prodigijs τ virtutibus.
Quid eſt enim quod minus habuiſtis pre ceteris
eccleſijs: niſi quod ego ipſe non gravavi
vos? Donate mihi hanc iniuriam.
Ecce tertio hoc paratus ſum venire
ad vos τ non ero gravis vobis. Non
enim quero que veſtra ſūt ſed vos. Nec enim debēt
filij parentibus theſaurizare: ſed
parētes filijs. Ego autē libētiſſime impē=
dā τ ſuperimpendar ego ipſe pro animabus
veſtris: licet plus vos diligens
minus diligar. Sed eſto. Ego vos non
gravavi: ſed cum eſſem aſtutus quos D
dolo vos cepi. Nūquid per aliquē eorum
miſi ad vos circumveni vos?
Rogavi titū τ miſi cum illo
fratrem. Nunquid titus vos
circūvenit? Nōne eodē ſpū ambulavi=
mus? Nōne eiſdē veſtigijs? Olim puta=
tis quod excuſemus nos apud vos? Corā deo
in χρo loquimur. Omia enim chariſſimi
propter edificationem veſtram. Timeo
enim ne forte cū venero: nō quales volo in
veniā vos: τ ego inveniar a vobis qualē non Gala.5.d.
vultis: ne forte contētiōes: emulatiōes: a
nimoſitates: diſſenſiōes: detractiōes: ſu
ſurratiōes: inflatiōes: ſeditiōes ſint inter
vos. Ne iterū cū venero humiliet me de
us apud vos: τ lugeam multos

προημαρτηκότων και μη μετανοησάντων επί
τη ακαθαρσία και πορνεία και ασελγεία η
έπραξαν. Cap.13.
Ιδού τρίτον τούτο έρχομαι προς υμάς.
επί στόματος δύο μαρτύρων και τρι
ών σταθήσεται παν ρήμα. προείρηκα και
προλέγω ως παρών το δεύτερον, και α=
πών νυν γράφω τοις προημαρτηκόσι και
τοις λοιποίς πάσιν, ότι εάν έλθω εις το πά
λιν ου φείσομαι. επεί δοκιμήν ζητείτε του
εν εμοί λαλούντος Χριστού. ος εις υμάς
ουκ ασθενεί, αλλά δύναται εν υμίν. και
γαρ ει εσταυρώθη εξ ασθενείας, αλλά ζη
εκ δυνάμεως θεού, και γαρ ημείς ασθενού=
μεν εν αυτώ, αλλά ζησόμεθα συν αυτώ εκ
δυνάμεως θεού εις υμάς. εαυτούς πειράζε
τε ει εστέ εν τη πίστει. εαυτούς δοκιμάζε=
τε. η ουκ επιγινώσκετε εαυτούς ότι ιησούς
Χριστός εν υμίν εστίν. ειμήτι άρα αδόκιμοι
εστέ. ελπίζω δε ότι γνώσεσθε, ότι ημείς
ουκ εσμέν αδόκιμοι. εύχομαι δε προς τον
θεόν μη ποιήσαι υμάς κακόν μηδέν, ουχ ί
να ημείς δόκιμοι φανώμεν, αλλ ίνα υμείς το
καλόν ποιήτε. ημείς δε ως αδόκιμοι ώμεν.
ου γαρ δυνάμεθα τι κατά της αληθείας, αλ
λ υπέρ της αληθείας. χαίρομεν γαρ όταν η
μείς ασθενώμεν, υμείς δε δυνατοί ήτε. τού=
το δε και ευχόμεθα την υμών κατάρτησιν.
διατούτο ταύτα απών γράφω, ίνα παρών
μη αποτόμως χρήσωμαι κατά την εξουσί=
αν, ην έδωκέ μοι ο κύριος εις οικοδομήν και
ουκ εις καθαίρεσιν. λοιπόν αδελφοί χαίρε=
τε, καταρτίζεσθε, παρακαλείσθε, το αυτό φρο
νείτε, ειρηνεύετε, και ο θεός της αγάπης και
της ειρήνης έσται μεθ υμών. ασπάσασθε αλ
λήλους εν φιλήματι αγίω. ασπάζονται υ=
μάς οι άγιοι πάντες. η χάρις του κυρίου ιη
σού Χριστού, και η αγάπη του θεού, και η
κοινωνία του αγίου πνεύματος μετά πάν=
των υμών. αμήν.

Τέλος της προς κορινθίους δευτέ=
ρας επιστολής.

ex his qui an peccauerũt: ⁊ nõ egerunt
pniaȝ ſup imũdicia ⁊ fornicatiõe ⁊ im
pudicitia quam geſſerunt. Cap.13.
Ecce tertio hoc venio ad vos. A
In ore duoȝ vel trium teſtium Deu.17.b.
ſtabit omne verbuȝ. Predixi enim et Mat.18.c.
p̃dico vt pñs vobis: et nunc abſens Heb.10.d.
his qui ante peccauerunt et Ioh.8.c.
ceteris omnibus: qm̃ ſi venero iterum
non parcã. An experimentũ queritis
ei⁹ q̃ in me loquit̃ xp̃s? Qui in vobis
non infirmatur: ſȝ potens eſt in vobis.
Nã ⁊ ſi crucifix⁹ ẽ ex ĩfirmitate: ſȝ vi B
uit ex virtute dei. Nã et nos infirmi ſu
mus in illo: ſed viuemus in eo ex
v̾tute dei in vobiſ. Voſmetipſos tẽpta=
te ſi eſtis in fide: ipſi vos probate.
An nõ cognoſcitis voſmetipſos quia
xp̃s ieſus in vobis ẽ? Niſi forte repro
bi eſtiſ. Spero ãt q̃ cognoſcitiſ: q2 nos
non ſumus reprobi. Oram⁹ ãt C
deũ vt nihil mali faciatis: non vt
nos probati pareamus: ſed vt vos qđ
bonũ ẽ faciatiſ. Nos ãt vt reprobi ſim⁹
Nõ poſſum⁹ eĩ aliqđ aduerſus verita=
tẽ: ſȝ p̃ veritate. Gaudemus eĩ qm̃ nos
ĩfirmi ſum⁹: vos ãt potẽtes eſtis. Hoc
et oramus veſtram conſummationem.
Ideo eĩȝ hec abſens ſcribo: ut nõ pñs
durius agam ſm̃ poteſtatem D
quã dñs dedit mihi in edificationẽ et
nõ in deſtructionẽ. De cetero frẽs gau
dete: p̾fecti eſtote: exhortamini: idipſuȝ
ſapite. Pacẽ habete: ⁊ deuſ pacis ⁊ di Mat.5.a.
lectiõis erit uobiſcuȝ. Salutate inuicẽ
in oſculo ſancto. Salutant uos
omnes ſãcti. Gratia domini noſtri ieſu
chriſti: et charitas dei: ⁊
cõicatio ſancti ſp̃us: ſit cum omnibus
uobis Amen.

Explicit epiſtola pauli ad Corin=
thios ſecunda.

## Incipit argumentum in epiſtolam ad Galatas.

Galate ſunt greci. Hi verbum veritatis primum ab apoſtolo acceperunt: ſed poſt diſceſſum eius temptati ſunt a falſis apoſtolis vt in legem et circunciſionem verterentur. Hos apoſtolus reuocat ad fidem veritatis: ſcribens eis ab epheſo.

Explicit argumentum.

Η του αγίου παύλου προς γαλάτας επιστολή. Cap. 1.

Παύλος απόστολος ουκ απ' ανθρώπων ουδέ δι' ανθρώπου αλλά διά ιησού χριστού και θεού πατρός του εγείραντος αυτόν εκ νεκρών, και οι συν εμοί πάντες αδελφοί ταις εκκλησίαις της γαλατίας. χάρις υμίν και ειρήνη από θεού πατρός και κυρίου ημών ιησού χριστού, του δόντος εαυτόν περί των αμαρτιών ημών, όπως εξέληται ημάς εκ του ενεστώτος αιώνος πονηρού κατά το θέλημα του θεού και πατρός ημών, ω η δόξα εις τους αιώνας των αιώνων αμήν. θαυμάζω ότι ούτω ταχέως μετατίθεσθε από του καλέσαντος υμάς εν χάριτι χριστού εις έτερον ευαγγέλιον, ο ουκ εστίν άλλο, ει μή τινές εισίν οι ταράσσοντες υμάς, και θέλοντες μεταστρέψαι το ευαγγέλιον του χριστού. αλλά και εάν ημείς η άγγελος εξ ουρανού ευαγγελίζηται υμίν παρ' ο ευηγγελισάμεθα υμίν, ανάθεμα έστω. ως προειρήκαμεν και άρτι πάλιν λέγω. εί τις υμίν ευαγγελίζεται παρ' ο παρελάβετε, ανάθεμα έστω. άρτι γαρ ανθρώπους πείθω, η τον θεόν. η ζητώ ανθρώποις αρέσκειν. ει γαρ έτι ανθρώποις ήρεσκον, χριστού δούλος ουκ αν ήμην. γνωρίζω δε υμίν αδελφοί το ευαγγέλιον το ευαγγελισθέν υπ' εμού, ότι ουκ εστί κατά άνθρωπον. ουδέ γαρ εγώ παρ' ανθρώπου παρέλαβον αυτό, ούτε εδιδάχθην, αλλά δι' αποκαλύψεως ιησού χριστού. ηκούσατε γαρ την εμήν αναστροφήν ποτέ εν τω ιουδαϊσμώ, ότι καθ' υπερβολήν εδίωκον την εκκλησίαν του θεού, και επόρθουν αυτήν, και προέκοπτον εν τω ιουδαϊσμώ υπέρ πολλούς συνηλικιώτας μου εν τω γένει μου, περισσοτέρως ζηλωτής υπάρχων των πατρικών μου παραδόσεων. ότε δε ευδόκησεν ο θεός ο αφορίσας με εκ κοιλίας μητρός μου και καλέσας διά της χάριτος αυτού, αποκαλύψαι τον υιόν αυτού εν εμοί ίνα ευαγγελίζωμαι αυτόν εν τοις έθνεσι, ευθέως ου προσανεθέμην σαρκί και αίματι, ουδέ ανήλθον εις ιεροσόλυμα προς τους προ εμού αποστόλους, αλλ' απήλθον εις αραβίαν, και πάλιν υπέστρεψα εις δαμασκόν. έπειτα μετά έτη τρία ανήλθον εις ιεροσόλυμα ιστορήσαι πέτρον, και επέμεινα προς αυτόν ημέρας δεκαπέντε. έτερον δε των αποστόλων ουκ είδον, ει μή ιάκωβον τον αδελφόν του κυρίου. α δε γράφω υμίν ιδού ενώπιον του θεού

Incipit epiſtola beati pauli apoſtoli
ad Galatas. Cap. 1.
Paulus apl's nõ ab A
hoïbus neq3 per hoïe3:
ſ3 p' ieſum xp̄m ⁊
deum prēm qui ſuſcitauit
eū a mortuis: et q̄ mecū ſūt
omnes fratres eccleſijs
galatie. Gratia vobis et pax a deo
patre ⁊ domino noſtro ieſu chriſto:
q̄ dedit ſemetipſum pro peccatis
noſtris: vt eriperet nos de preſenti
ſeculo nequam ſm̄ voluntatem dei
⁊ patris noſtri: cui eſt gloria in ſecula
ſeculorum amen. Miror q' ſic
tam cito transferimini ab eo qui
vos vocauit in grāz xp̄i i aliud euāge B
liū: quod nō eſt aliud: niſi ſunt aliqui
qui vos ꝯturbāt: et volunt conuertere
euangelium chriſti. Sed licet
nos aut angelus de celo euangelizet
vobis p̄terq̄3 qđ euāgelizauimus vobis
anathema ſit. Sicut predixim9 ⁊ nunc
iterū dico. Si q's vobis euāgelizauerit p̄
ter id qđ accepiſtis: anathema ſit. Mō
.n. hoïbus ſuadeo an deo? An q̄ro ho
minibus placere? Si adhuc hoïb9 pla
cerē xp̄i ſeruus nō eſſem. Notum C
.n. vobis facio frēs euāgeliū qđ euāge
lizatū eſt a me: q2 nō eſt ſm̄ hominē.
Neq3 enim ego ab homine accepi
illud neq3 didici: ſed per reuelatione3
ieſu xp̄i. Audiſtis enim
ꝯuerſationē meā aliquādo in iudaiſmo
q̄m ſupra modū perſequebar eccleſia3
dei: ⁊ expugnabā illā: ⁊ proficieba3
in iudaiſmo ſupra multos coetaneos
meos in gn̄e meo: abūdātius
emulator exiſtens paternarum mearu3
traditionū. Cū āt placuit ei q̄ me ſegre 1.Co.15.b. Act.9.a.et 22.b.
gauit ex vtero matris mee ⁊ vocauit
p gratiam ſuam: vt reuelaret
filium ſuum in me vt euangelizarem
illū in gentibus: ꝯtinuo non acquieui
carni ⁊ ſanguini. Neq3 veni hieroſoly= D
mā ad anteceſſores meos apoſtolos:
ſed abij in arabiam: ⁊ iterum
reuerſus ſū damaſcū. Deide poſt ānos
tres veni hieroſolyma3 videre petrum
⁊ manſi apud eū diebus quindecim.
Alium aūt apoſtolorum uidi neminē:
niſi iacobum fratrem domini.
Que āt ſcribo uobis: ecce coram deo

Digitized by Google

ότι ου ψεύδομαι. έπειτα ήλθον εις τα κλί=
ματα της συρίας και της κιλικίας. ήμην δε
αγνοούμενος τω προσώπω ταις εκκλησί=
αις της ιουδαίας ταις εν χριστώ. μόνον δε
ακούοντες ήσαν ότι ο διώκων ημάς ποτέ,
νυν ευαγγελίζεται την πίστιν, ην ποτέ ε=
πόρθει. και εδόξαζον εν εμοί τον θεόν. Cap.2.

Έπειτα διά δεκατεσσάρων ετών πάλιν ανέ
βην εις ιεροσόλυμα μετά βαρνάβα, συμ
παραλαβών και τίτον. ανέβην δε κατά απο
κάλυψιν, και ανεθέμην αυτοίς το ευαγγέλι=
ον ο κηρύσσω εν τοις έθνεσι. κατ ιδίαν δε
τοις δοκούσι, μήπως εις κενόν τρέχω η έ=
δραμον. αλλ ουδέ τίτος ο σύν εμοί έλλην
ών ηναγκάσθη περιτμηθήναι. διά δε τους πα
ρεισάκτους ψευδαδελφούς οίτινες παρει=
σήλθον κατασκοπήσαι την ελευθερίαν ημών
ην έχομεν εν χριστώ ιησού, ίνα ημάς κατα
δουλώσωνται. οις ουδέ προς ώραν είξαμεν
τη υποταγή, ίνα η αλήθεια του ευαγγελί=
ου διαμείνη προς υμάς. από δε των δο=
κούντων είναι τι, οποίοι τε ήσαν ουδέν μοι
διαφέρει. πρόσωπον ο θεός ανθρώπου ου
συλλαμβάνει. εμοί γαρ οι δοκούντες ου=
δέν προσανέθεντο, αλλά τουναντίον ιδόν
τες ότι πεπίστευμαι το ευαγγέλιον της α=
κροβυστίας καθώς πέτρος περιτομής. ο γαρ
ενεργήσας πέτρω εις αποστολήν της περι=
τομής, ενήργησε και εμοί εις τα έθνη και γνόν
τες την χάριν την δοθείσαν μοί ιάκωβος
και κήφας και ιωάννης οι δοκούντες στύ=
λοι είναι, δεξιάς έδωκαν εμοί και βαρνάβα
κοινωνίας, ίνα ημείς εις τα έθνη αυτοί δε εις
την περιτομήν. μόνον δε των πτωχών ίνα
μνημονεύωμεν. ο και εσπούδασα αυτό τού
το ποιήσαι. ότε δε ήλθε πέτρος εις αντιό=
χειαν, κατά πρόσωπον αυτώ αντέστην, ότι
κατεγνωσμένος ην. προ του γαρ ελθείν τι=
νάς από ιακώβου, μετά των εθνών συνήσθι
εν, ότε δε ήλθον υπέστελλε και αφώριζεν ε=
αυτόν, φοβούμενος τους εκ περιτομής, και
συνυποκρίθησαν αυτώ και οι λοιποί ιουδαί
οι, ώστε βαρνάβας συναπήχθη αυτών τη υ
ποκρίσει. αλλ ότε είδον ότι ουκ ορθοπο=
δούσι προς την αλήθειαν του ευαγγελίου,
είπον τω πέτρω έμπροσθεν πάντων. ει συ
ιουδαίος υπάρχων εθνϊκώς ζης και ουκ ιου
δαϊκώς, τι τα έθνη αναγκάζεις ιουδαΐζειν. η
μείς φύσει ιουδαίοι και ουκ εξ εθνών αμαρ=
τωλοί. ειδότες ότι ου δικαιούται άνθρωπος
εξ έργων νόμου εάν μη διά πίστεως ιησού
χριστού. και ημείς εις χριστόν ιησούν επι=
στεύσαμεν, ίνα δικαιωθώμεν εκ πίστεως χρι

qꝛ nō mentioꝛ. Deinde ueni in partes
ſyrie ꝛ cilicie. Eram autem
ignotus facie eccleſijs
iudee: que erāt in chꝛiſto. Tantum autē
auditū hēbāt: qm̄ q pſeq̄bat nos aliqñ:
nūc euāgelizat fidē quā aliqñ expugna
bat: ꝛ in me clarificabant deū. Cap.2.

Deinde poſt annos q̄ttuoꝛdecī iterū
aſcēdi hieroſolymā cū barnaba aſ
ſumpto ꝛ tito. Aſcēdi autem ſꝫ reuela
tionē: ꝛ ꝯtuli cū illis euangeliuꝫ
qd̄ pꝛedico in gētibus. Seoꝛſum autēꝫ
his q videbant aliq̄d eē: ne foꝛte in va=
cuū currerē aut cucurriſſē. Sꝫ neq̄ tit⁹
q mecū erat cū eēt gētilis ꝯpulſus ē cir
cūcidi: ſꝫ pp̄ ſubitroductos falſos frēs q
ſubitroierūt exploꝛare libertatē noſtram
quā habem⁹ in xp̄o ieſu: vt nos in ſer
uitutē redigerēt. Quib⁹ neq̄ꝫ ad hoꝛam
ceſſim⁹ ſubiectiōi: vt veritas euangelij
pmaneat apd̄ vos. Ab his āt q vide=
bant eē aliq̄d q̄les aliqñ fuerit nihil
mea itereſt. De⁹.n. pſonā hoīs non
accipit. Mihi ei q videbāt eē aliq̄d ni
hil ꝯtulerunt: ſed ecōtra cum vidiſſent
ꝙ creditū eſt mihi euangeliuꝫ pꝛepucij:
ſicut ꝛ petro circunciſionis: qui enim
opatus eſt petro in apoſtolatū circūci=
ſiōis: opatus eſt ꝛ mihi iter gētes: ꝛ cū
cognouiſſēt grāꝫ q̄ data ē mihi iacob⁹
ꝛ cephas ꝛ iohannes q videbāt colūne
eē: dextras dederūt mihi ꝛ barnabe
ſocietatis: vt nos in gentes: ipſi āt in
circūciſionē: tm̄ vt pauperū hoc ipꝫ
memoꝛes eſſemus. Qd̄ ēt ſollicit⁹ fui
facere. Cū āt veniſſet petr⁹ an
tiochiam in faciem ei reſtiti: qꝛ
rep̄henſibilis erat. Pri⁹ ei ꝙ venirēt q
dā a iacobo: cū gentibus edebat:
cū āt veniſſent: ſubtrahebat ꝛ ſegrega
bat ſe: timēs eos q ex circūciſiōe erant.
Et ſimulatiōi ei⁹ ꝯſenſerūt ceteri iudei:
ita vt ꝛ barnabas ducerēt ab eis ī illaꝫ
ſimulationē. Sꝫ cū vidiſſē ꝙ nō recte
ambularent ad veritatem euangelij:
dixi cephe coꝛā omnibus. Si tu
cū iude⁹ ſis: gētiliter viuis ꝛ nō iudai=
ce: quō gētes cogis iudaizare? Nos
natura iudei ꝛ nō ex gētib⁹ peccatoꝛes.
Scientes aūt ꝙ nō iuſtificat homo
ex operibus legis: niſi per fidem ieſu
xp̄i. Et nos in chꝛiſto ieſu credimus:
vt iuſtificemur ex fide chꝛiſti

A

B

Roma.2.b
Ephe.6.b.
Col.3.d.
Actu.10.c.
Jaco.2.b.

C

στού και ουκ εξ έργων νόμου. διότι ου δικαιωθήσεται εξ έργων νόμου πάσα σάρξ. ει δε ζητούντες δικαιωθήναι εν Χριστώ, ευρέθημεν και αυτοί αμαρτωλοί, άρα Χριστός αμαρτίας διάκονος. μή γένοιτο. ει γαρ α κατέλυσα ταύτα πάλιν οικοδομώ, παραβάτην εμαυτόν συνίστημι. εγώ γαρ διά νόμου νόμω απέθανον, ίνα θεώ ζήσω. Χριστώ συνεσταύρωμαι. ζω δέ ουκέτι εγώ, ζη δε εν εμοί Χριστός· ο δε νυν ζω εν σαρκί, εν πίστει ζω τη του υιού του θεού του αγαπήσαντος με, και παραδόντος εαυτόν υπέρ εμού. ουκ αθετώ την χάριν του θεού. ει γαρ διά νόμου δικαιοσύνη, άρα Χριστός δωρεάν απέθανεν.

Cap. 3.

Ω ανόητοι γάλαται, τίς υμάς εβάσκηνεν αληθεία μη πείθεσθαι, οίς κατ οφθαλμούς ιησούς Χριστός προεγράφη, εν υμίν εσταυρωμένος. τούτο μόνον θέλω μαθείν αφ υμών εξ έργων νόμου το πνεύμα ελάβετε η εξ ακοής πίστεως. ούτως ανόητοι εστέ, εναρξάμενοι πνεύματι, νυν σαρκί επιτελείσθε. τοσαύτα επάθετε εική εί γε εική. ο ουν επιχορηγών υμίν το πνεύμα και ενεργών δυνάμεις εν υμίν, εξ έργων νόμου η εξ ακοής πίστεως, καθώς αβραάμ επίστευσε τω θεώ και ελογίσθη αυτώ εις δικαιοσύνην. γινώσκετε άρα ότι οι εκ πίστεως ούτοι εισίν υιοί αβραάμ. προϊδούσα δε η γραφή ότι εκ πίστεως δικαιοί τα έθνη ο θεός, προευηγγελίσατο τω αβραάμ, ότι ενευλογηθήσονται εν σοι πάντα τα έθνη. ώστε οι εκ πίστεως ευλογούνται συν τω πιστώ αβραάμ. όσοι γαρ εξ έργων νόμου εισίν, υπό κατάραν εισίν. γέγραπται γαρ. επικατάρατος πας ος ουκ εμμένει εν πάσι τοις γεγραμμένοις εν τω βιβλίω του νόμου του ποιήσαι αυτά. ότι δε εν τω νόμω ουδείς δικαιούται παρά τω θεώ, δήλον ότι ο δίκαιος εκ πίστεως ζήσεται. ο δε νόμος ουκ εστίν εκ πίστεως, αλλ ο ποιήσας αυτά άνθρωπος ζήσεται εν αυτοίς. Χριστός ημάς εξηγόρασεν εκ της κατάρας του νόμου γινόμενος υπέρ ημών κατάρα. γέγραπται γαρ. επικατάρατος πας ο κρεμάμενος επί ξύλου, ίνα εις τα έθνη η ευλογία του αβραάμ γένηται εν Χριστώ ιησού, ίνα την επαγγελίαν του πνεύματος λάβωμεν διά της πίστεως. κατά άνθρωπον λέγω όμως ανθρώπου κεκυρωμένην διαθήκην ουδείς αθετεί η επιδιατάσσεται. τω δε αβραάμ ερρέθησαν αι επαγγελίαι και τω σπέρματι αυτού. ου λέγει τοις σπέρμασιν ως επί πολλών αλλ ως εφ ενός και τω σπέρματι ος ε

z nõ ex opibus legis. Propter quod ex opib⁹ legis nõ iuſtificabit oīs caro. Q̄d ſi q̄rẽtes iuſtificari in xp̃o: inuẽti ſumus z ipſi pctõres: nũquid xp̃s peccati miniſter eſt? Abſit. Si enim que deſtruxi iterũ hec reedifico: p̄uaricatorem me conſtituo. Ego enim per legem legi mortuus ſuz: vt deo viuã. Chriſto ↄfix⁹ ſũ cruci. Viuo ãt iã nõ ego: viuit vo in me xp̃s. Q̄d ãt nũc viuo in carne: in fide viuo filij dei qui dilexit me et tradidit ſeipſuz pro me. Non abijcio grãm dei. Si enim per legem iuſtitia: ergo gratis chriſtus mortuus eſt. **D**

Cap. 3.

O Inſenſati galate: q̇s vos faſcinauit nõ obedire veritati? Añ quorũ oculos xp̃s ieſus pſcript⁹ eſt: et in vobis crucifix⁹. Hoc ſolũ a vobis volo diſcere: ex operibus legis ſpũm accepiſtis an ex auditu fidei? Sic ſtulti eſtis vt cũ ſpũ ceperitis: nũc carne conſumamini. Tanta paſſi eſtis ſine cã: ſi tñ ſine cã. Qui ergo tribuit vobis ſpũz z operatur virtutes in vobis: ex opibus legis an ex auditu fidei? Sicut ſcriptũ ẽ. Abraã credidit dõ z reputatũ ẽ illi ad iuſtitiã. Cognoſcite ergo qz q̇ ex fide ſũt: hi ſũt filij abrae. Prouidẽs ãt ſcriptura qz ex fide iuſtificat gentes deus: prenũciauit abrae quia benedicentur in te oẽs gentes. Igitur q̇ ex fide ſunt: bñdicentur cũ fideli abraã. Quicunqz ei ex opib⁹ legis ſũt: ſub maledicto ſũt. Scriptũ eſt ei. Maledictus omnis qui nõ pmãſerit in oīb⁹ que ſcripta ſunt in libro legis vt faciat ea. Q̄m ãt in lege nemo iuſtificatur apud deũ: manifeſtũ eſt qz iuſt⁹ ex fide viuet. Lex autez non eſt ex fide: ſed qui fecerit ea viuet in illis. Chriſtus nos redemit de maledicto legis: factus pro nobis maledictuz. Qz ſcriptũ eſt. Maledict⁹ oīs q̇ pẽdet in ligno: vt in gentibus benedictio abrae fieret in chriſto ieſu vt pollicitationez ſpũs accipiamus p fidem. Fratres ſm hominez dico: tñ hominis ↄfirmatũ teſtamentũ nemo ſpernit aut ſuperordinat. Abrae dicte ſunt promiſſiones et ſemini eius. Nõ dicit z ſeminib⁹ quaſi i mul tis ſed q̄ſi in vno: z ſemini tuo qui eſt

**A** **B** **C**

Gene. 15. b. Roma. 4. a. Iaco. 2. d. Gene. 22. d. Deute. 27. d. Abach. 2. a. Ro. 10. b. Heb. 10. d. Deu. 21. d. Hebr. 9. c.

Digitized by Google

στί Χριστός. τοῦτο δὲ λέγω διαθήκην προκεκυ
ρωμένην ὑπὸ τοῦ θεοῦ εἰς Χριστόν, ὁ μετὰ ἔτη
τετρακόσια καὶ τριάκοντα γεγονὼς νόμος οὐκ
ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν. εἰ
γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκέτι ἐξ ἐπαγγε
λίας. τῷ δὲ ἀβραὰμ δι᾽ ἐπαγγελίας κεχάρισται
ὁ θεός. τί οὖν ὁ νόμος; τῶν παραβάσεων χά=
ριν προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπή
γγελται διαταγεῖσα δι᾽ ἀγγέλων ἐν χειρὶ μεσί
του. ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν, ὁ δὲ θεὸς εἷς
ἐστίν. ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ
θεοῦ; μὴ γένοιτο. εἰ γὰρ ἐδόθη νόμος ὁ δυ
νάμενος ζωοποιῆσαι, ὄντως ἐκ νόμου ἦν ἡ δικαι
οσύνη. ἀλλὰ συνέκλεισεν ἡ γραφὴ πάντα ὑπὸ
ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως ἰησοῦ
Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν. πρὸ τοῦ δὲ ἐλ=
θεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα, συγ
κεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκα
λυφθῆναι. ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέ
γονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν.
ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγω
γόν ἐσμεν. πάντες υἱοὶ θεοῦ ἐστὲ διὰ τῆς πίστε
ως ἐν Χριστῷ ἰησοῦ. ὅσοι γὰρ εἰς Χριστὸν ἐβα
πτίσθητε Χριστὸν ἐνεδύσασθε. οὐκ ἔνι ἰουδαῖ
ος οὐδὲ ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος,
οὐκ ἔνι ἄρσεν καὶ θῆλυ. πάντες γὰρ ὑμεῖς εἷς ἐ
στὲ ἐν Χριστῷ ἰησοῦ. εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα
τοῦ ἀβραὰμ σπέρμα ἐστέ, κατ᾽ ἐπαγγελίαν κλη
Λέγω δέ, ἐφ᾽ ὅσον χρόνον Ca.4. ρονόμοι.
ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει
δούλου κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρό
πους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας
τοῦ πατρός. οὕτως καὶ ἡμεῖς ὅτε ἦμεν νήπιοι ὑ
πὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμέ=
νοι. ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, ἐ
ξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον
ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς
ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολ
άβωμεν. ὅτε δὲ ἐστὲ υἱοί, ἐξαπέστειλεν ὁ θεὸς
τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑ
μῶν κρᾶζον ἀββᾶ ὁ πατήρ. ὥστε οὐκέτι εἶ
δοῦλος ἀλλὰ υἱός, εἰ δὲ υἱὸς καὶ κληρονόμος
θεοῦ διὰ Χριστοῦ. ἀλλὰ τότε μὲν οὐκ εἰδό=
τες θεόν, ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θε
οῖς. νῦν δὲ γνόντες θεόν, μᾶλλον δὲ γνωσθέν
τες ὑπὸ θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσ
θενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δου
λεύειν θέλετε. ἡμέρας παρατηρεῖσθε καὶ μῆνας
καὶ καιροὺς καὶ ἐνιαυτούς. φοβοῦμαι ὑμᾶς μή
πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. γίνεσθε ὡς ἐγώ, ὅ
τι κἀγὼ ὡς ὑμεῖς. ἀδελφοί, δέομαι ὑμῶν. οὐ
δέν με ἠδικήσατε. οἴδατε δὲ ὅτι δι᾽ ἀσθένειαν
τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν τὸ πρότερον,
καὶ τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου
οὐκ ἐξουθενήσατε οὐδὲ ἐξεπτύσατε, ἀλλ᾽ ὡς ἄ
γγελον θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν ἰησοῦν.

xp̄s. Hoc aūt dico: testamētū ꝯfirmatū
a deo: q̄ post quadringētos ⁊ triginta
annos facta est lex: non irritum facit
ad euacuādā ꝓmissionē. Nam si ex
lege hereditas: iā nō ex ꝓmissiōe.
Abrae aūt per repromissionē donauit
de9. Quid igit̄. Lex propter trāſgreſ
ſionē poſita ē: donec veniret ſemē cui
ꝓmiſerat: ordinata p angelos in manu
mediatoꝛis. Mediatoꝛ aūt vni9 nō ē: d̄
us aūt vn9 ē. Lex ergo aduerſus ꝓmiſ
ſa dei? Abſit. Si ei data eēt lex que
poſſet viuificare: vere ex lege eēt iuſti
tia. Sꝫ concluſit ſcriptura omnia ſub D
pctō: vt ꝓmiſſio ex fide ieſu xp̄i
daret credētib9. Prius aūt q̄ veniret
fides ſub lege cuſtodiebamur: ꝯcluſi
in eā fidē q̄ reuelanda erat.
Itaqꝫ lex pedagogus noſter
fuit i chriſto: vt ex fide iuſtificemur.
At vbi venit fides: iā non ſum9 ſub
pedagogo. Oēs eī filij dei eſtis p fidē
q̄ ē in xp̄o ieſu. Quicūqꝫ eī i xp̄o ba Roma.6.a
ptizati eſtis: xp̄m iduiſtis. Nō ē iude9
neqꝫ grecus: nō ē ſeruus neqꝫ liber:
nō ē maſculus neqꝫ femina. Oēs eī vos
vnū eſtis i xp̄o ieſu. Si aūt vos xp̄i:
ergo ſemē abrae eſtis: ſꝫ ꝓmiſſionem
Dico aūt. Quā Ca.4. heredes. A
to tpe heres paruul9 ē: nihil dif
fert a ſeruo cū ſit dn̄s oīū: ſꝫ ſub tuto
ribus ⁊ actoribus ē vſqꝫ ad p̄finitū tp̄s
a patre. Ita ⁊ nos cū eēmus ꝑuuli ſub
elementis mundi eramus ſeruientes.
At vbi venit plenitudo tēpoꝛis miſit 1.Thi.1.b.
deus filium ſuum factum
ex muliere factū ſub lege: vt eos qui
ſub lege erāt redimeret: vt adoptionē
filioꝝ reciperem9. Qm̄ aūt eſtis filij dī:
miſit de9 ſpūꝫ filij ſui in corda veſtra
clamātē abba pater. Itaqꝫ iā nō eſt
ſeruus: ſed fili9. Q̄d ſi fili9 ⁊ heres
per deuꝫ. Sꝫ tunc quidē ignorantes
deū his q̄ natura nō ſūt dij ſeruiebatis.
Nūc aūt cū cognoueritis deū: imo co B
gniti ſitis a deo: quō ꝯuertimini iterū
ad īfirma ⁊ egena elemēta qb9 dnuo
ſeruire vultis? Dies obſeruatis ⁊ mē
ſes ⁊ tp̄a ⁊ annos. Timeo vos ne
forte ſine cā laborauerī i vobis. Eſto
te ſic ego: qꝛ ⁊ ego ſic vos. Frēs obſe
cro vos: nihil me leſiſtis. Scitis aūt qꝛ p
īfirmitatē carnis euāgelizaui vobis iā
pdē: ⁊ tēptationē meā i carne mea
nō ſpreuiſtis neqꝫ reſpuiſtis: ſꝫ ſicut
angelū dei excepiſtis me ſic xp̄m ieſū.



Digitized by Google

Τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν. μαρτυρῶ γὰρ ὑμῖν ὅτι εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. ὥστε ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν. ζηλοῦσιν ὑμᾶς οὐ καλῶς ἀλλὰ ἐκκλεῖσαι ὑμᾶς θέλουσιν ἵνα αὐτοὺς ζηλοῦσθε. καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ μόνον ἐν τῷ παρεῖναι μὲ πρὸς ὑμᾶς. τεκνία μου οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. ἤθελον δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι καὶ ἀλλάξαι τὴν φωνήν μου, ὅτι ἀποροῦμαι ἐν ὑμῖν. λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε. γέγραπται γὰρ ὅτι ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. καὶ ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας διὰ τῆς ἐπαγγελίας, ἅτινά ἐστιν ἀλληγορούμενα. αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι. μία μὲν ἀπὸ ὄρους σινᾶ εἰς δουλείαν γεννῶσα ἥτις ἐστὶν ἀγάρ. τὸ γὰρ ἀγὰρ σινᾶ ὄρος ἐστὶν ἐν τῇ ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν ἱερουσαλὴμ, δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς. ἡ δὲ ἄνω ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶν μήτηρ πάντων ἡμῶν. γέγραπται γάρ. εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ἡμεῖς δὲ ἀδελφοὶ κατὰ ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν. ἀλλ᾽ ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκε τὸν κατὰ πνεῦμα, οὕτως καὶ νῦν. ἀλλὰ τί λέγει ἡ γραφή. ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς. οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. ἄρα ἀδελφοὶ οὐκ ἐσμὲν παιδίσκης τέκνα ἀλλὰ τῆς ἐλευθέρας. τῇ ἐλευθερίᾳ οὖν ᾗ ὁ Χριστὸς ἡμᾶς ἠλευθέρωσεν.

Cap. 5.

Στήκετε καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε. ἴδε ἐγὼ παῦλος λέγω ὑμῖν ὅτι ἐὰν περιτέμνησθε Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. μαρτύρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι. κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ. οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε. ἡμεῖς γὰρ πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. ἐν γὰρ Χριστῷ ἰησοῦ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι᾽ ἀγάπης ἐνεργουμένη. ἐτρέχετε καλῶς. τίς ὑμᾶς ἐνέκοψε τῇ ἀληθείᾳ μὴ πείθεσθαι. ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς. μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν κυρίῳ ὅτι οὐδὲν ἄλλο φρονήσετε. ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα ὅστις ἂν ᾖ. ἐγὼ δὲ ἀδελφοὶ εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι, ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ. ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς. ὑμεῖς γὰρ ἐπ᾽ ἐλευθερίᾳ ἐκλήθητε ἀδελφοί. μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀ

Ubi ē ergo btitudo vra. Testimoniū ei phibeo vobis: qz si fieri possz oculos vros eruissetis: ⁊ dedissetis mihi. Ergo inimicꝰ C
vobis factꝰ sū verꝫ dicēs vobis? Emulant vos nō bn̄: sz excludere vos volūt: vt illos emulemini. Bonū āt emulamini in bono semper: ⁊ nō tm̄ cū presēs sū apud vos. Filioli mei quos iterū pturio donec formet xp̄s i vobis. Uellē āt eē apud vos modo ⁊ mutare vocē meā: qm̄ ↄfūdor in vobis. Dicite mihi qui sub lege vultis esse: legem nō legistis? Scriptū ē ei: qm̄ abraā duos filios habuit: Gen. 21. a.
vnū de ancilla ⁊ vnū de libera. Sed qui de ancilla ꝫ de carne natus est: qui aūt de libera per repromissionē: q̄ sūt p allegoriā dctā. Hec ei sūt duo testamēta. Unū qdēz in mōte sina in seruitutē generās: q̄ ē agar. Sina enim mōs est in arabia q̄ D
ↄiunctus est ei q̄ nūc est hierl'z: ⁊ seruit cū filijs suis. Illa āt q̄ sursum est hierl'z libera est: que est mater nostra. Scriptum est enim. Letare Gal. 4. c.
sterilis q̄ nō paris: erūpe ⁊ clama q̄ nō Esaie. 54. a.
parturis: qz multi filij deserte Luce. 23. d.
magis q̄ eiꝰ q̄ hz virum. Nos autem frēs ꝫ isaac promissionis filij sumus. Sz quō tūc is q̄ ꝫ carnē natꝰ fuerat psēqbat eū q̄ ꝫ spūz: ita ⁊ nūc. Sz qd dicit scriptura. Ejice ancillam ⁊ Gen. 21. a.
filium eius: non enim heres erit filiꝰ ancille cum filio libere. Itaqz fratres non sumus ancille filij sed libere: q̄ libertate nos xp̄s liberauit.

Cap. 5.

State et nolite iterū iugo fuitutis ↄtineri. Ecce ego paulꝰ dico vobis: qm̄ si circūcidamini xp̄s vobis nihil pderit. A 1. Cor. 6. c. Act. 15. a.
Testificor āt rursus oī hoi circūcidēti se: qm̄ debitor ē vniuerse legis faciēde. Euacuati estis a xp̄o: qui i lege iustificamini: a grā excidistis. Nos ei spū ex fide spez iustitie expectamus. Nā i xp̄o iesu neqz circūcisio aliqd valet neqz pputiū: sz fides q̄ p charitatē opat. Currebatis bn̄ quis vos ipediuit veritati nō obedire? B
Nemini ↄsēserit. Persuasio hec nō ē ex eo q̄ vocat vos. Modicū fermētū totā massā corrūpit. 1. Cor. 5. b.
Ego ↄfido i vobis i dn̄o q̄ nihil aliud sapietis. Qui āt ↄturbat vos portabit iudiciū: qcūqz ē ille. Ego āt frēs si circūcisiōēz adhuc pdico: qd adhuc psecutiōēz patior? Ergo euacuatū ē scādalū crucis. Utinā abscidāt q̄ vos cōturbāt. Uos ei in libertatē vocati estis fratres: tm̄ nc libertatem in occasionem

Digitized by Google

φορμὴν τῇ σαρκί· ἀλλὰ διὰ τῆς ἀγάπης δου
λεύετε ἀλλήλοις. ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λό
γῳ πληροῦται, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον
σου ὡς ἑαυτόν. εἰ δὲ ἀλλήλους δάκνετε καὶ
κατεσθίετε, βλέπετε μήπω ὑπ᾽ ἀλλήλων ἀνα
λωθῆτε. λέγω δὲ πνεύματι περιπατεῖτε, καὶ ἐ
πιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. ἡ γὰρ σὰρξ
ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα
κατὰ τῆς σαρκός. ταῦτα δὲ ἀντίκειται ἀλ-
λήλοις, ἵνα μὴ ἃ ἂν θέλητε ταῦτα ποιῆτε. εἰ
δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. φα
νερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστι
μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδω
λολατρία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυ
μοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι
φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις.
ἃ προλέγω ὑμῖν καθὼς καὶ προεῖπον, ὅτι οἱ
τὰ τοιαῦτα πράσσοντες βασιλείαν θεοῦ οὐ
κληρονομήσουσιν. ὁ δὲ καρπὸς τοῦ πνεύμα
τός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία
χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐ
γκράτεια. κατὰ τῶν τοιούτων οὐκ ἔστιν νό
μος. οἱ δὲ τοῦ χριστοῦ τὴν σάρκα ἐσταύρω
σαν σὺν τοῖς παθήμασιν καὶ ταῖς ἐπιθυμίαις.
Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ Cap.6.
στοιχῶμεν. μὴ γινώμεθα κενόδοξοι ἀλ
λήλους προκαλούμενοι, ἀλλήλοις φθο-
νοῦντες. ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρω
πος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματι
κοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι
πραότητος, σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πει-
ρασθῇς. ἀλλήλων τὰ βάρη βαστάζετε καὶ οὕ
τως ἀναπληρώσατε τὸν νόμον χριστοῦ. εἰ
γὰρ δοκεῖ τις εἶναί τι μηδὲν ὤν, ἑαυτὸν φρε
ναπατᾷ. τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκα
στος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα
ἕξει καὶ οὐκ εἰς τὸν ἕτερον. ἕκαστος γὰρ τὸ ἴ
διον φορτίον βαστάσει. κοινωνείτω δὲ ὁ κα-
τηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶ
σιν ἀγαθοῖς. μὴ πλανᾶσθε, θεὸς οὐ μυκτηρί
ζεται. ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος τοῦτο καὶ
θερίσει. ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ,
ſpectaculū facti: in altero āt ſocij taliter
conuerſantium effecti. Nam ⁊
vinctis compaſſi eſtis: ⁊ rapinam
bonorum veſtrorum cum gaudio
ſuſcepiſtis: cognoſcentes vos habere
meliorem ⁊ manentem ſubſtantiam. G
Nolite itaqz amittere cōfidētiā vrām:
q̄ magnā h3 remunerationē. Patiētia
eī vobis neceſſaria eſt: vt voluntatē
dei facientes reportetis promiſſionem.
Adhuc eī modicū aliquātulūqz q̄ vētu
r⁹ ē veniet ⁊ nō tardabit. Juſt⁹ āt me⁹ Abach.2.a
ex fide viuet. Qd ſi ſubtraxerit ſe: non Ro.1.b.
placebit anime mee. Nos autem non Gala.3.b.
ſum⁹ ſubtractiōis filij in pditionē: ſ3 fi
dei in acquiſitionem anime. Cap. 11.

Eſt āt fides ſperandarū ſubſtantia A
rerū: argumentū non apparentiū.
In hac eī teſtimoniū ꝯſecuti ſūt ſenes.
Fide intelligimus aptata eſſe ſecula Gene.1.a.
verbo dei: vt ex inuiſibilibus

Digitized by Google

βλεπόμενα γεγονέναι. πίστει πλείονα θυ-
σίαν ἄβελ παρὰ κάϊν προσήνεγκε τῷ θε-
ῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρ-
τυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ θεοῦ,
καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται. πίσ
τει ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον, καὶ
οὐχ εὑρίσκετο, διότι μετατέθηκεν αὐτὸν ὁ
θεός, πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ με-
μαρτύρηται εὐηρεστηκέναι τῷ θεῷ. χωρὶς
δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι. πισ-
τεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ θεῷ
ὅτι ἐστί, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθα-
ποδότης γίνεται. πίστει χρηματισθεὶς νῶε
περὶ τῶν μηδέπω βλεπομένων εὐλαβηθείς,
κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴ-
κου αὐτοῦ, δι' ἧς κατέκρινε τὸν κόσμον, καὶ
τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κλη-
ρονόμος. πίστει καλούμενος ἀβραὰμ ὑπή-
κουσεν ἐξελθὼν εἰς τὸν τόπον ὃν ἔμελλε
λαμβάνειν εἰς κληρονομίαν, καὶ ἐξῆλθε μὴ
ἐπιστάμενος ποῦ ἔρχεται. πίστει παρῴκη-
σεν ἀβραὰμ εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς
ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ ἰσα
ὰκ καὶ ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγ
γελίας τῆς αὐτῆς. ἐξεδέχετο γὰρ τὴν τοὺς θε
μελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δη
μιουργὸς ὁ θεός. πίστει καὶ αὐτὴ σάρρα στεῖ
ρα οὖσα δύναμιν εἰς καταβολὴν σπέρμα-
τος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν,
ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον.
διὸ καὶ ἀφ' ἑνὸς ἐγεννήθησαν, καὶ ταῦτα
νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρα-
νοῦ τῷ πλήθει, καὶ ὡς ἡ ἄμμος ἡ παρὰ τὸ
χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος. κατὰ
πίστιν ἀπέθανον οὗτοι πάντες μὴ λαβόν-
τες τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐ-
τὰς ἰδόντες καὶ ἀσπασάμενοι, καὶ ὁμολο-
γήσαντες ὅτι ξένοι καὶ παρεπίδημοι εἰσὶν ἐ-
πὶ τῆς γῆς. οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφα
νίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι, καὶ εἰ μὲν
ἐκείνης ἐμνημόνευον ἀφ' ἧς ἐξῆλθον, εἶχον
ἂν καιρὸν ἀνακάμψαι. νυνὶ δὲ κρείττονος
ὀρέγονται τουτέστιν ἐπουρανίου. διὸ οὐκ
ἐπαισχύνεται αὐτοὺς ὁ θεός, θεὸς ἐπικαλεῖ
σθαι αὐτῶν ἡτοίμασε γὰρ αὐτοῖς πόλιν. πίσ
τει προσενήνοχεν ἀβραὰμ τὸν ἰσαὰκ πειραζό-
μενος, καὶ τὸν μονογενῆ προσέφερεν, ὁ τὰς ἐ
παγγελίας ἀναδεξάμενος, πρὸς ὃν ἐλαλήθη
ὅτι ἐν ἰσαὰκ κληθήσεταί σοι σπέρμα, λογισά
μενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ θε
ὸς ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. πί
στει περὶ μελλόντων εὐλόγησεν ἰσαὰκ τὸν

viſibilia fierent. Fide plurimã hoſtiam Gene.4.a
abel q̃ꝫ cain obtulit deo:
p quã teſtimoniũ ꝯſecut⁹ ẽ eẽ iuſt⁹: te
ſtimoniũ perhibente muneribus eius deo:
& per illã defunct⁹ adhuc loquit̃. Fide Gene.5.d.
enoch trãſlat⁹ eſt ne videret mortẽ: et Sap.4.c. Eccl.44.c
non inueniebatur: q2 tranſtulit illum
de⁹. Ante tranſlationẽ ei teſtimonium
habuit placuiſſe deo. Sine 1.Mac.2.f.
fide aũt ĩpoſſibile eſt placere deo. Crede B
re enĩ oportet accedentem ad deum
q2 eſt: & inquirentibus ſe remunerator
ſit. Fide noe reſponſo accepto Gene.6.d. Eccl.44.c
de his que adhuc nõ videbãtur metu
ens: aptauit arcam in ſalutẽ domus
ſue: per quam dãnauit mundũ: & 
iuſtitie q̃ per fidẽ eſt heres eſt ĩſtitut⁹.
Fide qui vocatur abraam obediuit Gen.12.a.et 13.a.
in locum exire quem accepturus erat
in hereditatem: & exijt neſciens
quo iret. Fide demoratus eſt
in terra repromiſſionis tanq̃ in
aliena: in caſulis habitando cũ iſaac
& iacob coheredibus repromiſſionis
eiuſdẽ. Expectabat enim fundamenta C
habentẽ ciuitatẽ: cuius artifex & ꝯditor
deus. Fide & ipſa ſara ſterilis Gene.21.a.
virtutem in conceptione ſeminis
accepit etiam preter tempus etatis:
q̃m fidelẽ credidit eſſe eũ qui repromi
ſerat. Propter qđ & ab vno orti ſunt: &
emortuo: tanq̃ ſidera celi in hoc
multitudinẽ: & ſicut arena q̄ eſt ad
oram maris innumerabilis. Iuxta
fidẽ defuncti ſunt oẽs iſti: non acceptis
repromiſſionibus: ſed a longe eas
aſpicientes & ſalutantes: & confitentes
q2 peregrini & hoſpites ſunt ſuper
terrã. Qui enim hoc dicunt: ſignificãt
ſe patriã inquirere. Et ſi quidem
ipſius meminiſſent de q̃ exierũt habebãt
vtiq3 tp̃s reuertẽdi. Nũc aũt meliorem
appetũt: id eſt celeſtem. Ideo non
confunditur deus vocari deus
eorũ. Parauit enim illis ciuitatẽ. Fide gene.22.b.
obtulit abraam iſaac cum temptaretur:
& vnigẽitũ offerebat: ĩ quo ſuſceperat re
promiſſiones: ad quem dictũ eſt:
q2 in iſaac vocabit̃ tibi ſemẽ: arbitrãs gene.21.b.
q2 & a mortuis ſuſcitare potens ẽ de⁹.
Vñ eum in parabolã accepit: Fide et gene.27.e.
de futuris benedixit iſaac iacob

ἰακὼβ καὶ τὸν ἠσαῦ. πίστει ἰακὼβ ἀποθνήσκων
ἕκαστον τῶν υἱῶν ἰωσὴφ εὐλόγησε, καὶ προ
σεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.
πίστει ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου
τῶν υἱῶν ἰσραὴλ ἐμνημόνευσε, καὶ περὶ τῶν
ὀστέων αὐτοῦ ἐνετείλατο. πίστει μωϋσῆς
γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πα=
τέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον
καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βα=
σιλέως. πίστει μωϋσῆς μέγας γενόμενος
ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς φαραώ,
μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λα=
ῷ τοῦ θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀ
πόλαυσιν. μείζονα πλοῦτον ἡγησάμενος τῶν
αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ
χριστοῦ. ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδο=
σίαν. πίστει κατέλιπεν αἴγυπτον, μὴ φοβη=
θεὶς τὸν θυμὸν τοῦ βασιλέως. τὸν γὰρ ἀόρα
τον ὡς ὁρῶν ἐκαρτέρησε. πίστει πεποίηκε
τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος,
ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα θί=
γῃ αὐτῶν. πίστει διέβησαν τὴν ἐρυθρὰν θά=
λασσαν ὡς διὰ ξηρᾶς, ἧς πεῖραν λαβόντες
οἱ αἰγύπτιοι, κατεπόθησαν. πίστει τὰ τείχη
ἰεριχὼ ἔπεσε κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας.
πίστει ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς
ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους
μετ᾽ εἰρήνης. καὶ τί ἔτι λέγω. ἐπιλείψει γὰρ
με διηγούμενον ὁ χρόνος, περὶ γεδεών, βα
ράκ τε, καὶ σαμψών, καὶ ἰεφθάε, δαυίδ τε
καὶ σαμουήλ, καὶ τῶν προφητῶν, οἳ διὰ πί
στεως κατηγωνίσαντο βασιλείας, εἰργάσαν
το δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν. ἔφ=
ραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν
πυρός. ἔφυγον στόματα μαχαίρας, ἐνεδυ
ναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσ=
χυροὶ ἐν πολέμῳ. παρεμβολὰς ἔκλιναν ἀλ
λοτρίων, ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως
τοὺς νεκροὺς αὐτῶν. ἄλλοι δὲ ἐτυμπανίσθη
σαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵ=
να κρείττονος ἀναστάσεως τύχωσιν. ἕτεροι
δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλα=
βον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς, ἐλιθάσθη=
σαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μα
χαίρας ἀπέθανον. περιῆλθον ἐν μηλωταῖς
ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβό=
μενοι, κακουχούμενοι. ὧν οὐκ ἦν ἄξιος ὁ
κόσμος, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι,
καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. καὶ
οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστε
ως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ θε
οῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου,
ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. Cap.xii.

& esau. Fide Jacob moriens Ge.48.c.et
ſingulos filiorum ioſeph benedixit: & adora 49.d
uit faſtigium virge eius.
Fide ioſeph moriens de profectione Gene.50.d
filiorum iſrael memoratus eſt: & de
oſſibus ſuis mandauit. Fide moyſes Exo.2.a.
natus occultatus eſt menſibus tribus a parenti
bus ſuis: eo quod vidiſſent elegantem infantem:
& non timuerunt regis edictum. E
Fide moyſes grandis factus Exo.2.b.
negauit ſe eſſe filium filie pharaonis:
magis eligens affligi cum populo
dei quam temporalis peccati habere iucunditatem:
maiores diuitias eſtimans
theſauro egyptiorum improperium
chriſti. Aſpiciebat enim in remunerationem.
Fide reliquit egyptum: non veritus Exo.2.c.
animoſitatem regis. Inuiſibilem enim
tanquam videns ſuſtinuit. Fide celebrauit Exo.12.b.
paſcha & ſanguinis effuſionem:
ne qui vaſtabat primitiua tangeret
eos. Fide tranſierunt mare rubrum Exo.14.d.
tanquam per aridam terram: quod experti
egyptij deuorati ſunt. Fide muri Joſue.6.c.
hiericho corruerunt circuitu dierum ſeptem. F
Fide raab meretrix non perijt cum Joſue.6.a.
incredulis excipiens exploratores cum Joſue.2.a et 6.d.
pace. Et quid adhuc dicam? Deficiet
me tempus enarrantem: de gedeon: barach:
ſamſon: iepte: dauid:
ſamuel & prophetis: qui per fidem
vicerunt regna: operati ſunt
iuſtitiam: adepti ſunt repromiſſiones. Ob=
turauerunt ora leonum: extinxerunt impetum
ignis. Effugauerunt aciem gladij: conualue
runt de infirmitate: fortes facti ſunt
in bello. Caſtra verterunt exterorum:
acceperunt mulieres de reſurrectione Mat.17.f.
mortuos ſuos. Alij autem diſtenti ſunt:
non ſuſcipientes redemptionem: vt
meliorem inuenirent reſurrectionem. Alij G
vero ludibria & verbera experti:
inſuper & vincula & carceres: lapidati ſunt
ſecti ſunt: temptati ſunt: in occiſione gladij
mortui ſunt. Circuierunt in melotis: Math.5.a.
in pellibus caprinis: egentes: anguſtiati: Mar.1.a.
afflicti. Quibus dignus non erat
mundus. In ſolitudinibus errantes: in monti
bus & ſpeluncis: & in cauernis terre. Et
hi omnes teſtimonio fidei probati
non acceperunt repromiſſionem: deo
pro nobis melius aliquid prouidente
vt non ſine nobis conſummarentur. Cap.xii.

Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες
περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγ
κον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστα=
τον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν
προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς
τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν ἰη
σοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς
ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας
ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ θεοῦ κεκάθικεν.
ἀναλογίσασθε οὖν τὸν τοιαύτην ὑπομεμενη
κότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλο
γίαν ἵνα μὴ κάμητε ταῖς ψυχαῖς ὑμῶν ἐκλυ
όμενοι. οὔπω μέχρις αἵματος ἀντικατέστη=
τε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι, καὶ
ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς
υἱοῖς διαλέγεται. υἱέ μου μὴ ὀλιγώρει παι
δείας κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐ=
λεγχόμενος. ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύ=
ει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.
εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσ
φέρεται ὁ θεός. τίς γὰρ ἐστὶν υἱὸς ὃν οὐ παι
δεύει πατήρ. εἰ δὲ χωρίς ἐστε παιδείας ἧς
μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ
καὶ οὐκ υἱοί. εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡ=
μῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρε
πόμεθα, οὐ πολλῷ μᾶλλον ὑποταγησόμε
θα τῷ πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν.
οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ
δοκοῦν αὐτοῖς ἐπαίδευον, ὁ δὲ ἐπὶ τὸ συμ
φέρον εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐ
τοῦ. πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν
οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης. ὕστε=
ρον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυ
μνασμένοις ἀποδίδωσι δικαιοσύνης. διὸ τὰς
παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα
γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς
ποιήσατε τοῖς ποσὶν ὑμῶν. ἵνα μὴ τὸ χω=
λὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον. εἰρήνην διώκε
τε μετὰ πάντων καὶ τὸν ἁγιασμὸν, οὗ χω
ρὶς οὐδεὶς ὄψεται τὸν κύριον. ἐπισκοποῦν=
τες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ θε=
οῦ, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ,
καὶ διὰ ταύτης μιανθῶσι πολλοί. μή τις
πόρνος ἢ βέβηλος ὡς ἠσαῦ, ὃς ἀντὶ βρώσε
ως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ. ἴσ
τε γὰρ ὅτι καὶ μετέπειτα θέλων κληρονομῆ=
σαι τὴν εὐλογίαν ἀπεδοκιμάσθη. μετανοίας
γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύ
ων ἐκζητήσας αὐτήν. οὐ γὰρ προσεληλύθα
τε ψηλαφωμένῳ ὄρει καὶ κεκαυμένῳ πυρὶ
καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ, καὶ σάλ
πιγγος ἤχῳ καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκού=
σαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐ=

Ideoque et nos tantam habentes A
impositam nubem testium: Ephe. 4.c.
deponentes omne pondus et circumstans Col. 3.b.
nos peccatum per patientiam curramus ad 1. Pet. 2.a.
propositum nobis certamen: aspicientes in Dist. 17.a
autorem fidei et consummatorem iesum:
qui proposito sibi gaudio
sustinuit crucem: confusione contempta:
atque in dextera sedis dei sedet.
Recogitate eum qui talem sustinuit
a peccatoribus adversus semetipsum contradi
ctionem: ut ne fatigemini animis vestris
deficientes. Nondum enim usque ad sanguinem B
restitistis adversus peccatum repugnantes: et
obliti estis consolationis que vobis tanquam
filiis loquitur dicens. Fili mi noli neglige Prou. 13.b
re disciplinam domini neque fatigeris dum ab eo
argueris. Quem enim diligit dominus castigat.
flagellat autem omnem filium quem recipit.
In disciplina perseverate. Tanquam filiis vo
bis offert se deus. Quis enim filius quem non
corripit pater? quod si extra disciplinam estis cu
ius participes facti sunt omnes: ergo adulte
ri et non filii estis. Deinde patres quidem C
carnis nostre eruditores habuimus: et reve
rebamur eos: non multo magis obtempe=
rabimus patri spirituum et vivemus?
Et illi quidem in tempore paucorum dierum secundum
voluntatem suam erudiebant nos: hic autem ad
id quod utile est in recipiendo sanctificationem e
ius. Omnis autem disciplina in presenti quidem
videtur non esse gaudii: sed meroris: postea
autem fructum pacatissimum exercitatis per eam
reddet iustitie. Propter quod D
remissas manus et soluta
genua erigite: et gressus rectos
facite pedibus vestris: ut non claudi=
cans quis erret: magis autem sanetur. Pacem seq Ro. 12.d.
mini cum omnibus et sanctimoniam: sine
qua nemo videbit deum. Contemplantes
ne quis desit gratie dei: [illegible] impediat:
ne qua radix amaritudinis sursum germi
nans et per illam inquinentur multi. Ne quis Gene. 25.d.
fornicator aut prophanus ut esau: qui propter v
nam escam vendidit primitiva sua. Scitote
enim quoniam et postea cupiens hereditare E
benedictionem reprobatus est. Non enim Gene. 27.c.
invenit penitentie locum: quanquam cum lachrymis
inquisisset eam. Non enim accessistis ad Exo. 19.b.
tractabilem et accensibilem ignem
et turbinem et caliginem et procellam et tube
sonum et vocem verborum: quam qui audierunt
excusaverunt se ne eis fieret



Digitized by Google

τοῖς λόγον. οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον. κἂν θηρίον θίγῃ τοῦ ὄρους λιθοβοληθήσεται. καὶ οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον. μωϋσῆς εἶπεν. ἔκφοβός εἰμι καὶ ἔντρομος. ἀλλὰ προσεληλύθατε σιὼν ὄρει, καὶ πόλει θεοῦ ζῶντος ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ διαθήκης νέας μεσίτῃ ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λαλοῦντι παρὰ τὸν ἄβελ. βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον τὸν ἐπὶ γῆς παραιτησάμενοι χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανοῦ ἀποστρεφόμενοι, οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε, νῦν δὲ ἐπήγγελται λέγων. ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν ἀλλὰ καὶ τὸν οὐρανόν. τὸ δὲ ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν ὡς πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα. διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες ἔχωμεν χάριν, δι' ἧς λατρεύομεν εὐαρέστως τῷ θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας. καὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον. Cap.13.

Ἡ φιλαδελφία μενέτω, τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε. διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι, τῶν κακουχουμένων ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι. τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος. πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός. ἀφιλάργυρος ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν. αὐτὸς γὰρ εἴρηκεν. οὐ μή σε ἀνῶ οὐδ' οὐ μή σε ἐγκαταλίπω, ὥστε θαρροῦντας ἡμᾶς λέγειν. κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. ἰησοῦς χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε. καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. διὸ καὶ ἰησοῦς ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λα

verbũ. Nõ enim portabãt qđ dicebatur. Exo.20.c
Et ſi beſtia tetigerit mõtẽ lapidabitur. Exo.19.b.
Et ita terribile erat quod videbatur. F
Moyſes dixit. Exterritꝰ ſũ ⁊ tremebũdus. Sed acceſſiſtis ad ſion montem ⁊ ciuitatẽ dei viuentis ieruſalẽ celeſtẽ ⁊ multoꝝ miliũ angelorũ frequentiã: ⁊ eccleſiã primitiuorũ qui ꝯſcripti ſunt in celis: et iudicem omnium deum et ſpiritũ iuſtorũ perfectoꝝ: ⁊ teſtamenti noui mediatorẽ ieſũ: ⁊ ſanguinis aſꝑſionẽ melius loquentẽ ꝙ̃ abel. Uidete ne recuſetis loquentem. Si
enim illi nõ effugerũt: recuſãtes eũ q̃ ſup G
terram loquebatur: multo magis nos qui de celis loquẽtem nobis auertimus: cuiꝰ vox mouit terrã tũc: nunc aũt repromittit dicens. Adhuc ſemel ⁊ ego
Agg.2.b.
mouebo nõ ſolũ terrã ſed ⁊ celũ. Quod aũt adhuc ſemel dicit: declarat mobiliũ trãſlationẽ tãꝙ̃ factoꝝ: vt maneãt ea q̃ ſunt imobilia. Itaqꝫ regnũ imobile ſuſcipiẽtes habemꝰ grãm: ꝑ quã ſeruiamꝰ placentes deo cum metu ⁊ reuerentia. Etenĩ deus noſter ignis
Deu.4.d.
conſumens eſt. Cap.13.

Charitas fraternitatis maneat i vobis: ⁊ hoſpitalitatẽ nolite obliuiſci. A
Ro.12.c.
Per hãc ei placuerũt qđã angelis hoſpitio receptis. Mẽmẽtote victoꝝ tãꝙ̃ ſimul victi: ⁊ laborãtiũ tãꝙ̃ ⁊ ipſi ĩ corpore morãtes. Honorabile ꝯnubiũ ĩ oĩbus: ⁊ torus imaculatꝰ. Fornicatores ei ⁊ adulteros iudicabit deꝰ. Sit mores ſine auaricia: ꝯtẽti ꝑſẽtibꝰ. Ipſe ei dixit.
Nõ te deſerã neqꝫ dereliquã: ita vt cõfidẽter dicamus. Dñs mihi adiutor gene.28.c
ps.17.
⁊ non timebo quid faciat mihi homo. Mementote prepoſitoꝝ veſtroꝝ qui B
vobis locuti ſunt verbum dei: quorũ intuẽtes exitũ conuerſationis: imitamini fidem. Jeſus chriſtus heri ⁊ hodie: ipſe ⁊ in ſecula. Doctrinis varijs ⁊ peregrinis nolite abduci. Optimũ ẽ ei gratia ſtabiliri cor non eſcis: q̃ non profuerunt ambulãtibꝰ in eis. Habemus altare de quo edere nõ habent poteſtatem q̃ tabernaculo deſeruiũt. Quoꝝ ei aialiũ infertur ſanguis ꝓ pctõ in ſctã ꝑ pontificem: horum corpora cremantur extra caſtra. Propter qđ ⁊ ieſus vt ſctificaret ꝑ ſuum ſanguinẽ populũ

Digitized by Google

ὁμ ἔξω τῆς πύλης ἔπαθε. τοίμυμ ἐξερχώμε=
θα πρὸς αὐτὸμ ἔξω τῆς παρεμβολῆς, τὸμ ὀ
μειδισμὸμ αὐτοῦ φέρομτες. οὐ γὰρ ἔχομεμ
ὧδε μέμουσαμ πόλιμ, ἀλλὰ τὴμ μέλλουσαμ
ἐπιζητοῦμεμ. Δι' αὐτοῦ οὖμ ἀμαφέρωμεμ θυ
σίαμ αἰμέσεως Διαπαμτὸς τῷ θεῷ, τουτέστι
καρπὸμ χειλέωμ ὁμολογούμτωμ τῷ ὀμόμα
τι αὐτοῦ. τῆς Δὲ εὐποιΐας καὶ κοιμωμίας μὴ
ἐπιλαμθάμεσθε. τοιαύταις γὰρ θυσίαις εὐα
ρεστεῖται ὁ θεός. πείθεσθε τοῖς ἡγουμέμοις ὑ
μῶμ, καὶ ὑπείκετε. αὐτοὶ γὰρ ἀγρυπμοῦσιμ
ὑπὲρ τῶμ ψυχῶμ ὑμῶμ ὡς λόγομ ἀποδώ
σομτες, ἵμα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ
μὴ στεμάζομτες. ἀλυσιτελὲς γὰρ ὑμῖμ τοῦ
το. προσεύχεσθε περὶ ἡμῶμ. πεποίθαμεμ γὰρ
ὅτι καλὴμ συμείδησιμ ἔχομεμ ἐμ πᾶσι κα=
λῶς θέλομτες ἀμαστρέφεσθαι. περισσοτέρως
Δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵμα τάχιομ
ἀποκατασταθῶ ὑμῖμ. ὁ Δὲ θεὸς τῆς εἰρήμης
ὁ ἀμαγαγὼμ ἐκ μεκρῶμ τὸμ ποιμέμα τῶμ
προβάτωμ τὸμ μέγαμ ἐμ αἵματι Διαθήκης
αἰωμίου τὸμ κύριομ ἡμῶμ ἰησοῦμ χριστόμ,
καταρτίσαι ὑμᾶς ἐμ παμτὶ ἔργῳ ἀγαθῷ, εἰς
τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶμ ἐμ ὑ=
μῖμ τὸ εὐάρεστομ ἐμώπιομ αὐτοῦ Διὰ ἰησοῦ
χριστοῦ, ᾧ ἡ Δόξα εἰς τοὺς αἰῶμας. ἀμήμ.
παρακαλῶ Δὲ ὑμᾶς ἀδελφοὶ ἀμέχεσθε τοῦ
λόγου τῆς παρακλήσεως. καὶ γὰρ Διὰ βρα
χέωμ ἐπέστειλα ὑμῖμ. γιμώσκετε τὸμ ἀδελ=
φὸμ τιμόθεομ, ἀπολελυμέμομ, μεθ' οὗ ἐὰμ
τάχιομ ἔρχηται ὄψομαι ὑμᾶς. ἀσπάσασθε
πάμτας τοὺς ἡγουμέμους ὑμῶμ καὶ πάμτας
τοὺς ἁγίους. ἀσπάζομται ὑμᾶς οἱ ἀπὸ τῆς
ἰταλίας. ἡ χάρις μετὰ πάμτωμ ὑμῶμ. ἀ=
μήμ.

Τέλος τῆς πρὸς ἑβραίους ἐπιστολῆς.

extra portam passus est. Exeamus C
igitur ad eum extra castra: improperium
eius portantes. Non enim habemus
hic manentem ciuitatem: sed futuram
inquirimus. Per ipsum ergo offeramus hosti
am laudis semper deo: id est
fructum labiorum confitentium nomini
eius. Beneficientie autem et communionis nolite
obliuisci. Talibus enim hostiis promeretur
deus. Obedite prepositis vestris:
et subiacete eis. Ipsi enim peruigilant
quasi rationem pro animabus vestris reddi
turi: vt cum gaudio hoc faciant et
non gementes. Hoc enim non expedit vobis.
Orate pro nobis. Confidimus enim
quia bonam conscientiam habemus in omnibus bene
volentes conuersari. Amplius D
autem deprecor vos hoc facere: quo ce
lerius restituar vobis. Deus autem pacis
qui eduxit de mortuis pastorem
magnum ouium in sanguine testamenti
eterni dominum nostrum iesum christum:
aptet vos in omni bono: vt
faciatis eius voluntatem: faciens in vobis
quod placeat coram se per iesum
christum: cui est gloria in secula seculorum. Amen.
Rogo autem vos fratres vt sufferatis
verbum solatii. Etenim perpaucis
scripsi vobis. Cognoscite fratrem vestrum
timotheum dimissum: cum quo si
celerius venerit videbo vos. Salutate
omnes prepositos vestros: et omnes
sanctos. Salutant vos de vobis
italia fratres. Gratia cum omnibus
Amen.

Explicit epistola beati pauli ad hebreos.

Digitized by Google

Incipit prefatio beati Hieronymi preſbyteri in librum actuum apoſtolorum.

Canit pſalmiſta. Ambulabunt de virtutibus in virtutes. Poſt apoſtoli pauli epiſtolas dudum vobis vno volumine tranſlatas dōmon ⁊ rogatiane chariſſimi: actus apoſtolorum compellitis vt tranſferam in latinum: quem librum nulli dubium eſt a luca antiocheno arte medico qui poſtea inſeruiens paulo apoſtolo chriſti factus eſt diſcipulus fuiſſe editum. Ceruices premit impoſita ſepius oneris magnitudo: quia ſtudia inuidorum reprehenſione digna putant ea que ſcribimus. Illorum nunꝗ̄ odio et detractione iuuante chriſto meum ſilebit eloquium.

Actus apoſtolorum nudam quidem videntur ſonare hiſtoriã: et naſcentis eccleſie infantiam texere: ſed ſi nouerimus ſcriptorem eorum lucam eſſe medicum: cuius laus eſt in euangelio: animaduertemus pariter omnia verba illius anime languentis eſſe medicinam.

Incipit alius prologus.

Lucas antiochenſis natione ſyrus: cuius laus in euangelio canitur: apud antiochiam medicine artis egregius: et apoſtolorum chriſti diſcipulus fuit: poſtea vſqꝫ ad confeſſionem paulum ſecutus apoſtolū: ſine crimine in virginitate permanens: deo maluit ſeruire. Qui ſeptuaginta ⁊ quatuor annos etatis agens in bythinia obijt plenus ſpiritu ſancto: quo inſtigante in achaie partibus euangelium ſcribens grecis fidelibus incarnationem domini fideli narratione oſtendit: eidemqꝫ ex ſtirpe dauid deſcendiſſe monſtrauit. Cui non immerito ſcribendorum actuum apoſtolicorum poteſtas in miniſterio datur: vt deo in deum pleno ⁊ filio ꝑditionis extincto: oratione ab apoſtolis facta ſorte dominice electionis numerus compleretur. Sicqꝫ paulus conſummationem apoſtolicis actibus daret: quem diu contra ſtimulum calcitrantem dominus elegiſſet. Quod legentibus ⁊ requirentibus deum breui potius voluit oſtendere ſermone: ꝙ̄ prolixius aliquid faſtidientibus prodidiſſe. Sciens ꝙ operantem agricolaꝫ oporteat primum de ſuis fructibus edere. Quem ita diuina ſubſecuta eſt gratia: vt non ſolū corporibus ſed etiā aīabus eius proficeret medicina.

Αι πράξεις/ Των αποστόλων/ Του αγίου λουκά/ Του ευαγγελιστού. Cap. i.

Τον μεν πρώτον λόγον εποιησάμην περί πάντων ω θεόφιλε ων ήρξατο/ ο ιησούς ποιείν τε και διδάσκειν, άχρι ης ημέρας εντειλάμενος/ τοις αποστόλοις διά πνεύματος αγίου ους εξελέξατο, ανελήφθη. οις και παρέστησεν εαυτόν ζώντα μετά/ το παθείν αυτόν εν πολλοίς τεκμηρίοις, δι ημερών τεσσαράκοντα οπτανόμενος αυτοίς, και λέγων/ τα περί/ της βασιλείας/ του θεού. και συναλιζόμενος παρήγγειλεν αυτοίς από ιεροσολύμων μη χωρίζεσθαι, αλλά περιμένειν/ την επαγγελίαν/ του πατρός ην ηκούσατε μου ότι ιωάννης μεν εβάπτισεν ύδατι, υμείς δε βαπτισθήσεσθε εν πνεύματι αγίω, ου μετά πολλάς ταύτας ημέρας./ οι μεν ουν συνελθόντες επηρώτων αυτόν λέγοντες. κύριε ει εν/ τω χρόνω τούτω αποκαθιστάνεις/ την βασιλείαν/ τω ισραήλ. είπε δε προς αυτούς. ουχ υμών εστί γνώναι χρόνους η καιρούς ους/ ο πατήρ έθετο εν/ τη ιδία εξουσία, αλλά λήψεσθε δύναμιν επελθόντος/ του αγίου πνεύματος εφ υμάς, και έσεσθε μοι μάρτυ

Incipit liber actuum apoſtolorum beati Luce euangeliſte. Cap. i.

Primū quidē ſermonē feci de omnibus o theophile q̄ cepit ieſus facere ⁊ docere: vſqꝫ in diem qua precipiēs apoſtolis ꝑ ſpūm ſanctum quos elegit aſſumpt⁹ ē. Quib⁹ ⁊ p̄bu it ſeipſum viuum poſt paſſionem ſuam in multis argumētis per dies q̄dragin ta apparens eis ⁊ loquens de regno dei. Et conueſcens precepit eis ab hieroſolymis ne diſcederent: ſed expectarent promiſſionē patris: quā audiſtis inq̄t ꝑ os meū. Quia Iohannes q̄dē baptizauit aqua: vos āt baptizabimini ſpū ſctō: nō poſt multos hos dies. Igitur q̄ conuenerāt interrogabāt eū dicētes. Domine ſi in tempore hoc reſtitues regnum iſrael? Dixit autem eis. Nō eſt veſtrū noſſe tēpora vel momēta que pater poſuit in ſua poteſtate: ſed accipietis virtutē ſupueniētis ſpūs ſācti in vos: ⁊ eritis mihi teſtes

A

Mat. 5. c. Jacobi. i. b

Luce. 24. g

Infra. 2. b. et. 19. a.

s. Iſrael in greco datiui caſus.

Luce. 14. g

Digitized by Google

ρες ἐν τε ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ ἰου-
δαίᾳ καὶ σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς.
καὶ ταῦτα εἰπὼν βλεπόντων αὐτῶν ἐπήρ-
θη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν
ὀφθαλμῶν αὐτῶν. καὶ ὡς ἀτενίζοντες ἦ-
σαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ,
καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐ-
τοῖς ἐν ἐσθῆτι λευκῇ, οἳ καὶ εἶπον. ἄνδρες
γαλιλαῖοι τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν
οὐρανόν. οὗτος ὁ ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ
ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται
ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον
εἰς τὸν οὐρανόν. τότε ὑπέστρεψαν εἰς ἱερου
σαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶ-
νος, ὅ ἐστιν ἐγγὺς ἱερουσαλήμ, σαββάτου ἔ
χον ὁδόν. καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ
ὑπερῷον, οὗ ἦσαν καταμένοντες ὁ τε πέ-
τρος, καὶ ἰάκωβος, καὶ ἰωάννης, καὶ ἀνδρέ-
ας, φίλιππος, καὶ θωμάς, βαρθολομαῖος καὶ
ματθαῖος, ἰάκωβος ἀλφαίου, καὶ σίμων ὁ
ζηλωτής, καὶ ἰούδας ἰακώβου. οὗτοι πάντες
ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ
προσευχῇ καὶ τῇ δεήσει σὺν γυναιξὶ καὶ
μαρίᾳ τῇ μητρὶ τοῦ ἰησοῦ καὶ σὺν τοῖς ἀδελ
φοῖς αὐτοῦ. καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀ-
ναστὰς πέτρος ἐν μέσῳ τῶν μαθητῶν, εἶπεν.
ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκα-
τὸν εἴκοσι. ἄνδρες ἀδελφοί ἔδει πληρωθῆ-
ναι τὴν γραφὴν ταύτην ἣν προεῖπε τὸ πνεῦ-
μα τὸ ἅγιον διὰ στόματος δαυὶδ περὶ ἰού-
δα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦ
σι τὸν ἰησοῦν, ὅτι κατηριθμημένος ἦν σὺν ἡ-
μῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας
ταύτης. οὗτος μὲν οὖν ἐκτήσατο χωρίον
ἐκ μισθοῦ τῆς ἀδικίας, καὶ πρηνὴς γενόμε-
νος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα τὰ
σπλάγχνα αὐτοῦ. καὶ γνωστὸν ἐγένετο πᾶ-
σι τοῖς κατοικοῦσιν ἱερουσαλήμ, ὥστε κλη-
θῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐ
τῶν ἀκελδαμά, τουτέστι χωρίον αἵματος.
γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν. γενηθή-
τω ἡ ἔπαυλις αὐτοῦ ἔρημος καὶ μὴ ἔστω ὁ
κατοικῶν ἐν αὐτῇ, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ
λάβοι ἕτερος. δεῖ οὖν τῶν συνελθόντων ἡ
μῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ ἐν ᾧ εἰσῆλθε καὶ
ἐξῆλθεν ἐφ᾽ ἡμᾶς ὁ κύριος ἰησοῦς, ἀρξάμε-
νος ἀπὸ τοῦ βαπτίσματος ἰωάννου ἕως τῆς
ἡμέρας ἧς ἀνελήφθη ἀφ᾽ ἡμῶν, μάρτυρα
τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν
ἕνα τούτων. καὶ ἔστησαν δύο, ἰωσὴφ τὸν
καλούμενον βαρσαβάν, ὃς ἐπεκλήθη ἰοῦσ-
τος, καὶ ματθίαν. καὶ προσευξάμενοι εἶπον.
σὺ κύριε καρδιογνῶστα πάντων, ἀνάδει-

in hieruſalem & in omni iudea B
& ſamaria & uſq; ad ultimum terre.
Et cũ hec dixiſſet videtib⁹ illis eleuat⁹ Mar.16.g Apoc.1.c. Joh.20.c.
eſt: & nubes ſuſcepit eum ab
oculis eorum. Cumq; intuerentur
in celum euntem illum:
ecce duo viri aſtiterunt iuxta illos
in veſtibus albis: qui & dixerunt. Uiri
galilei quid ſtatis aſpicientes in
celũ. Hic ieſus qui aſſumptus eſt a
vobis in celum ſic veniet
quẽadmodũ vidiſtis eum euntem
in celũ. Tũc reuerſi ſunt hieroſolymã
a monte qui vocatur oliueti
qui eſt iuxta hieruſalẽ: ſabbati habẽs
iter. Et cum introiſſent in
cenaculũ aſcẽderũt vbi manebat Pe- Mat.10.a. Marc.3.d. luce.6.c.
tr⁹ & Johãnes & Jacobus et Andreas
Philipp⁹ & Thomas Bartholome⁹ et
Mattheus Jacobus alphei & Simõ
zelotes & Judas iacobi. Hi omnes C
erant perſeuerantes vnanimiter in
oratione cum mulieribus et
Maria matre ieſu & fratribus
eius. In diebus illis exurgens
petrus in medio fratrum dixit.
Erat aũt turba hominũ ſimul fere cen
tũ vigiti. Uiri fratres oportet impleri
ſcripturã quam predixit ſpiritus
ſanctus per os dauid de iuda
q̃ fuit dux eorum qui cõprehẽderunt
ieſum: qui cõnumeratus erat in nobis
& ſortitus eſt ſortem miniſterij
huius. Et hic quidem poſſedit agrum
de mercede iniquitatis: & ſuſpenſus
crepuit medius: & diffuſa ſunt omnia
viſcera eius. Et notũ factũ eſt oĩbus
hitantib⁹ hieruſalẽ: ita vt appellaretur
ager ille lingua eorũ
acheldema: hoc eſt ager ſanguinis.
Scriptũ eſt eñ in libro pſalmoꝝ. Fiat ps.108.
cõmoratio eorũ deſerta: & non ſit
q̃ ĩhabitet in ea: et epiſcopatũ ei⁹ D
accipiat alter. Op3 ergo ex his viris q̃
nobiſcũ ſũt ꝯgregati ĩ oĩ tpe in quo in
trauit & exiuit iter nos dñs ieſus ĩcipiẽs
a baptiſmate iohannis vſq; in
diem qua aſſumptus eſt a nobis teſtem
reſurrectiõis eius nobiſcum fieri
vnũ ex iſtis. Et ſtatuerũt duos. Joſeph Infra.4.d.
q̃ vocabat barſabas: q̃ cognominat⁹ ẽ
iuſtus: & mathiã. Et orantes dixerũt.
Tu dñe q̃ corda noſti omniũ: oſtende

Digitized by Google

ξον ὃν ἐξελέξω ἐκ τούτων/τῶν δύο ἕνα λα-
βεῖν/τὸν κλῆρον/τῆς διακονίας ταύτης καὶ ἀ-
ποστολῆς, ἐξ ἧς παρέβη ἰούδας πορευθῆ-
ναι εἰς/τὸν τόπον/τὸν ἴδιον. καὶ ἔδωκαν κλή-
ρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ ματθί-
αν, καὶ συγκατεψηφίσθη μετὰ/τῶν ἕνδεκα
ἀποστόλων. Cap. 2.

Καὶ ἐν/τῷ συμπληροῦσθαι/τὴν ἡμέραν
/τῆς πεντηκοστῆς, ἦσαν ἅπαντες ὁμοθυ-
μαδὸν ἐπὶ τὸ αὐτό. καὶ ἐγένετο ἄφνω ἐκ/τοῦ
οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βι-
αίας, καὶ ἐπλήρωσεν ὅλον/τὸν οἶκον οὗ ἦ-
σαν καθήμενοι. καὶ ὤφθησαν αὐτοῖς διαμε-
ριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἐκάθισέ τε
ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅ-
παντες πνεύματος ἁγίου, καὶ ἤρξαντο λα-
λεῖν ἑτέραις γλώσσαις, καθὼς/τὸ πνεῦμα ἐ-
δίδου αὐτοῖς ἀποφθέγγεσθαι. ἦσαν δὲ ἐν
ἱερουσαλὴμ κατοικοῦντες ἰουδαῖοι ἄνδρες
εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους/τῶν ὑπὸ/τὸν
οὐρανόν. γενομένης δὲ/τῆς φωνῆς ταύτης
συνῆλθε/τὸ πλῆθος καὶ συνεχύθη, ὅτι ἤκου-
ον εἷς ἕκαστος/τῇ ἰδίᾳ διαλέκτῳ λαλούν-
των αὐτῶν. ἐξίσταντο δὲ καὶ ἐθαύμαζον λέ-
γοντες πρὸς ἀλλήλους. οὐκ ἰδοὺ πάντες
οὗτοι εἰσὶν/οἱ λαλοῦντες γαλιλαῖοι, καὶ
πῶς ἡμεῖς ἀκούομεν ἕκαστος/τῇ ἰδίᾳ δια-
λέκτῳ ἡμῶν, ἐν ᾗ ἐγεννήθημεν, πάρθοι καὶ μῆ-
δοι καὶ ἐλαμῖται, καὶ/οἱ κατοικοῦντες/τὴν με-
σοποταμίαν, ἰουδαίαν τε καὶ καππαδοκίαν,
πόντον καὶ/τὴν ἀσίαν, φρυγίαν τε καὶ παμ-
φυλίαν, αἴγυπτον καὶ/τὰ μέρη/τῆς λιβύας
/τῆς κατὰ κυρήνην, καὶ/οἱ ἐπιδημοῦντες ῥω-
μαῖοι, ἰουδαῖοί τε καὶ προσήλυτοι, κρῆτες
καὶ ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν
/ταῖς ἡμετέραις γλώσσαις/τὰ μεγαλεῖα/τοῦ
θεοῦ. ἐξίσταντο δὲ πάντες καὶ διηπόρουν
ἄλλος πρὸς ἄλλον λέγοντες. τί ἂν θέλοι
τοῦτο εἶναι. ἕτεροι δὲ χλευάζοντες ἔλεγον,
ὅτι γλεύκους μεμεστωμένοι εἰσί. σταθεὶς
δὲ πέτρος σὺν/τοῖς ἕνδεκα ἐπῆρε/τὴν φωνὴν
αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς. ἄνδρες ἰου-
δαῖοι καὶ/οἱ κατοικοῦντες ἱερουσαλὴμ ἅπαν-
τες, τοῦτο ὑμῖν γνωστὸν ἔστω καὶ ἐνωτίσασ-
θε/τὰ ῥήματά μου. οὐ γὰρ ὡς ὑμεῖς ὑπο-
λαμβάνετε οὗτοι μεθύουσιν, ἔστι γὰρ ὥρα
τρίτη/τῆς ἡμέρας. ἀλλὰ τοῦτό ἐστι/τὸ εἰ-
ρημένον διὰ/τοῦ προφήτου ἰωήλ. καὶ ἔσται
ἐν/ταῖς ἐσχάταις ἡμέραις λέγει/ὁ θεός, ἐκ-
χεῶ ἀπὸ/τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρ-
κα, καὶ προφητεύσουσιν/οἱ υἱοὶ ὑμῶν καὶ
/αἱ θυγατέρες ὑμῶν, καὶ/οἱ νεανίσκοι ὑμῶν
ὁράσεις ὄψονται, καὶ/οἱ πρεσβύτεροι ὑμῶν

quē elegeris ex his duob⁹ vnū accipe
re locū miniſterij huius ⁊ apoſtolatus:
de quo preuaricat⁹ eſt iudas vt abiret
in locum ſuum. Et dederunt ſortes
eis. Et cecidit ſors ſuper Mathiam:
⁊ annumeratus eſt cum vndecim
apoſtolis. Cap. 2.

Et cum complerentur dies A
pentecoſtes: erant oēs pariter
in eodē loco. Et fact⁹ eſt repente de
celo ſon⁹: tanq̄ aduenietis ſpūs vehemē
tis: ⁊ repleuit totā domū vbi erāt
ſedentes. Et apparuerunt illis diſptite
lingue tanq̄ ignis: ſeditq̄ k. Ignis in gr. genitiui caſus.
ſupra ſingulos eoꝝ. Et repleti ſūt oēs
ſpiritu ſancto: ⁊ ceperunt loqui i. 4. d. et. 19 a.
varijs linguis: prout ſpūs ſanctus dabat
eloqui illis. Erant autem in
hieruſalem habitantes iudei viri
religioſi ex omni natione que ſub
celo eſt. Facta autem hac voce
cōuenit multitudo ⁊ mēte ꝯfuſa eſt: qm̄
audiebat vnuſq̄ſq; lingua ſua illos lo-
quētes. Stupebāt aūt oēs ⁊ mirabant̄ di
cētes. Nonne ecce omnes
iſti qui loquuntur galilei ſunt? Et
quō nos audimus vnuſquiſq; linguā
nr̄aꝫ: in q̄ nati ſum⁹? Parthi ⁊ medi B
⁊ elamite: ⁊ qui habitāt meſopotamiā:
iudeam ⁊ cappadociam:
pontū ⁊ aſiā: phrygiam ⁊ pamphyliaꝫ:
egyptum ⁊ partes lybie que eſt
circa cyrenēꝫ: ⁊ aduene romani:
iudei quoq; ⁊ proſelyti: cretes
⁊ arabes: audimus eos
loquentes noſtris linguis magnalia
dei. Stupebāt aūt oēs ⁊ mirabantur
adinuicē dicentes. Quid nam vult
hoc eſſe? Alij aūt irridentes dicebant
q2 muſto pleni ſunt iſti. Stans
aūt petrus cū vndecim eleuauit vocem
ſuam: ⁊ locutus eſt eis. Viri iudei
⁊ qui habitatis hieruſalem vniuerſi:
hoc vobis notū ſit: et auribus percipite
verba mea. Nō eni ſicut vos eſtimatis
hi ebrij ſunt: cum ſit hora
diei tertia. Sꝫ hoc eſt quod dictū eſt C
per prophetam iohel. Et erit Iohel. 2. g. Eſa. 44. a.
in nouiſſimis diebus dicit dñs: effūdā
de ſpiritu meo ſuper omnem carnem.
Et prophetabūt filij veſtri ⁊
filie veſtre: ⁊ iuuenes veſtri
viſiones videbunt: ⁊ ſeniores veſtri

Digitized by Google

ενυπνίοις ενυπνιασθήσονται. και γε επί τους
δούλους μου και επί τας δούλας μου εν
ταις ημέραις εκείναις εκχεώ από του πνεύ=
ματος μου, και προφητεύσουσι. και δώσω
τέρατα εν τω ουρανώ άνω, και σημεία επί
της γης κάτω, αίμα και πυρ και ατμίδα κα
πνού. ο ήλιος μεταστραφήσεται εις σκότος,
και η σελήνη εις αίμα, πριν η ελθείν την η
μέραν κυρίου την μεγάλην και επιφανή. και
έσται πας ος αν επικαλέσηται το όνομα κυ
ρίου σωθήσεται. άνδρες ισραηλίται ακούσατε
τους λόγους τούτους. ιησούν τον ναζω=
ραίον άνδρα από του θεού αποδεδειγμέ=
νον εις υμάς δυνάμεσι και τέρασι και σημεί
οις, οις εποίησε δι αυτού ο θεός εν μέσω υ
μών, καθώς και αυτοί οίδατε. τούτον τη ω
ρισμένη βουλή και προγνώσει του θεού έκ=
δοτον λαβόντες διά χειρών ανόμων προσ
πήξαντες ανείλετε. ον ο θεός ανέστησε λύσας
τας ωδίνας του θανάτου, καθότι ουκ ην δυ
νατόν κρατείσθαι αυτόν υπ αυτού. δαυίδ
γαρ λέγει εις αυτόν. προωρώμην τον κύρι
ον ενώπιον μου διαπαντός, ότι εκ δεξιών
μου εστίν ίνα μη σαλευθώ. διά τούτο ευ
φράνθη η καρδία μου, και ηγαλλιάσατο η
γλώσσα μου, έτι δε και η σαρξ μου κατα=
σκηνώσει επ ελπίδι. ότι ουκ εγκαταλείψεις
την ψυχήν μου εις άδου, ουδέ δώσεις τον
όσιον σου ιδείν διαφθοράν. εγνώρισας μοι
οδούς ζωής, πληρώσεις με ευφροσύνης με
τά του προσώπου σου. άνδρες αδελφοί, ε=
ξόν ειπείν μετά παρρησίας προς υμάς περί
του πατριάρχου δαυίδ, ότι και ετελεύτη=
σε, και εταφη, και το μνήμα αυτού εστίν εν
ημίν άχρι της ημέρας ταύτης. προφήτης ουν
υπάρχων και ειδώς ότι όρκω ώμοσεν αυ
τώ ο θεός εκ καρπού της οσφύος αυτού το
κατά σάρκα αναστήσειν τον χριστόν καθίσαι
επί του θρόνου αυτού, προϊδών ελάλησε
περί της αναστάσεως του χριστού, ότι ουκ
εγκατελείφθη η ψυχή αυτού εις άδου, ου
δέ η σαρξ αυτού είδε διαφθοράν. τούτον τον
ιησούν ανέστησεν ο θεός, ου πάντες ημείς
εσμέν μάρτυρες. τη δεξιά ουν του θεού υ=
ψωθείς, την τε επαγγελίαν του αγίου πνεύ
ματος λαβών παρά του πατρός εξέχεε τού
το, ο νυν υμείς βλέπετε και ακούετε. ου
γαρ δαυίδ ανέβη εις τους ουρανούς. λέ=
γει δε αυτός. είπεν ο κύριος τω κυρίω
μου κάθου εκ δεξιών μου. έως αν θώ
τους εχθρούς σου υποπόδιον των ποδών
σου. ασφαλώς ουν γινωσκέτω πας οίκος
ισραήλ, ότι και κύριον και χριστόν αυτόν

ſomnia ſomniabunt. Et quidem ſuper
ſeruos meos ⁊ ancillas meas in
diebus illis effundam de ſpiritu
meo ⁊ prophetabunt. Et dabo
prodigia in celo ſurſum ⁊ ſigna in
terra deorſuꝫ: ſāguinē ⁊ ignē ⁊ vaporē
fumi. Sol conuertetur in tenebras Iohe.2.b.
⁊ luna in ſanguinē: ante q̄ veniat dies
domini magnus ⁊ manifeſtus. Et Mat.10.c.
erit oīs q̄cunqꝫ inuocauerit nomen dn̄i et.24.b.
ſaluus erit. Uiri iſraelite audite Iohe.2.g. Rom.10.c.
verba hec. Ieſum nazarenum Infr.5.d.
virum approbatum a deo
in vobis virtutibus ⁊ ꝓdigijs ⁊ ſignis
que fecit deus per illuꝫ in medio veſtri D
ſicut ſcitis. Hunc definito
cōſilio ⁊ preſcientia dei traditum
per manus iniquorum: affigentes
interemiſtis. Quē deꝰ ſuſcitauit ſolutis Infra.10.d
doloribꝰ inferni: iuxta q̄d īpoſſibile e
rat teneri illum ab eo. Dauid
enim dicit in eum. Prouidebaꝫ dn̄m ps.15
in ꝯſpectu meo ſemper: q̄m a dextris
eſt mihi ne cōmouear. Propter hoc le
tatum eſt cor meum et exultauit
lingua mea: inſuꝑ ⁊ caro mea requieſcet
in ſpe. Q̄m non derelinques
animam meam in inferno: nec dabis
ſāctū tuū videre corruptionē. Notaſ mi
hi feciſti vias vite: replebis me iocūdi=
tate cum facie tua. Uiri fratres: liceat
audenter dicere ad vos de
patriarcha dauid: quoniaꝫ defunctꝰ ē:
⁊ ſepultꝰ ē: ⁊ ſepulchrū eius eſt apud E
nos vſqꝫ ī hodiernū diē. Propheta igi
tur cū eēt ⁊ ſciret q̄ iureiurādo iuraſ=
deus de fructu lumbi eius ⌊ſet illi
ſedere
ſuꝑ ſedem eiꝰ: ꝓuidens locutus eſt
de reſurrectione chriſti: quia neqꝫ
derelictꝰ eſt in inferno: neqꝫ
caro eius vidit corruptionem. Hunc
ieſum reſuſcitauit deus: cuius omnes ſup.1.a.
teſtes ſumus. Dextera igit̄ dei e⌊ nos j.10.d.
xaltatus: ⁊ promiſſione ſpiritus ſancti
accepta a patre: effudit hoc donum:
q̄d vos videtis ⁊ auditis. Non
enim dauid aſcendit in celos. Dicit
autēꝫ ipſe. Dixit dominus domino psal.109.
meo ſede a dextris meis. Donec ponā
inimicos tuos ſcabellum pedum
tuorū. Certiſſime ſciat ergo oīs domus F
iſrael: q̄ ⁊ dominū eū ⁊ chriſtum fecit



Digitized by Google

ὁ θεὸς ἐποίησε τοῦτον τὸν ἰησοῦν ὃν ὑμεῖς
ἐσταυρώσατε. ἀκούσαντες δὲ κατενύγη=
σαν τῇ καρδίᾳ, εἶπόν τε πρὸς τὸν πέτρον
καὶ τοὺς λοιποὺς ἀποστόλους. τί ποιή=
σωμεν ἄνδρες ἀδελφοί. πέτρος δὲ ἔφη πρὸς
αὐτούς. μετανοήσατε καὶ βαπτισθήτω ἕκα
στος ὑμῶν ἐπὶ τῷ ὀνόματι ἰησοῦ χριστοῦ,
εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δω
ρεὰν τοῦ ἁγίου πνεύματος. ὑμῖν γὰρ ἐσ=
τὶν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν, καὶ
πᾶσι τοῖς εἰς μακράν, ὅσους ἂν προσκαλέ
σηται κύριος ὁ θεὸς ἡμῶν. ἑτέροις τε λόγοις
πλείοσι διεμαρτύρετο καὶ παρεκάλει λέ=
γων. σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς
ταύτης. οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι
τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν, καὶ προσ
ετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισ=
χίλιαι. ἦσαν δὲ προσκαρτεροῦντες τῇ διδα
χῇ τῶν ἀποστόλων, καὶ τῇ κοινωνίᾳ καὶ τῇ
κλάσει τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς. ἐγέ
νετο δὲ πάσῃ ψυχῇ φόβος. πολλά τε τέρα
τα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο.
πάντες δὲ οἱ πιστεύσαντες ἦσαν ἐπὶ τὸ αὐ=
τό, καὶ εἶχον ἅπαντα κοινὰ καὶ τὰ κτήματα
καὶ τὰς ὑπάρξεις ἐπίπρασκον καὶ διεμέριζον
αὐτὰ πᾶσι καθότι ἄν τις χρείαν εἶχε. καθ
ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν
ἐν τῷ ἱερῷ, κλῶντές τε κατ' οἶκον ἄρτον, με
τελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφε
λότητι καρδίας, αἰνοῦντες τὸν θεὸν καὶ ἔχον
τες χάριν πρὸς ὅλον τὸν λαόν. ὁ δὲ κύριος
προσετίθει τοὺς σωζομένους καθημέραν τῇ
ἐκκλησίᾳ. Cap. 3.

Ἐπὶ τὸ αὐτὸ δὲ πέτρος καὶ ἰωάννης ἀνέβαι
νον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσ=
ευχῆς τὴν ἐννάτην. καί τις ἀνὴρ χωλὸς
ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστά
ζετο, ὃν ἐτίθουν καθ' ἡμέραν πρὸς τὴν θύραν
τοῦ ἱεροῦ τὴν λεγομένην ὡραίαν, τοῦ αἰτεῖν
ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων
εἰς τὸ ἱερόν. ὃς ἰδὼν πέτρον καὶ ἰωάννην
μέλλοντας εἰσιέναι εἰς τὸ ἱερόν, ἠρώτα ἐλε
ημοσύνην. ἀτενίσας δὲ πέτρος εἰς αὐτὸν σὺν
τῷ ἰωάννῃ εἶπε. βλέψον εἰς ἡμᾶς. ὁ δὲ ἐ=
πεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ' αὐτῶν
λαβεῖν. εἶπε δὲ πέτρος. ἀργύριον καὶ χρυ
σίον οὐχ ὑπάρχει μοι, ὃ δὲ ἔχω τοῦτο
σοὶ δίδωμι. ἐν τῷ ὀνόματι ἰησοῦ χριστοῦ
τοῦ ναζωραίου ἔγειραι καὶ περιπάτει, καὶ
πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρε.
παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ αἱ βά
σεις καὶ τὰ σφυρά, καὶ ἐξαλλόμενος ἔσ
τη καὶ περιεπάτει, καὶ εἰσῆλθε σὺν αὐτοῖς
εἰς τὸ ἱερὸν περιπατῶν καὶ ἁλλόμενος,

deus hunc iesum quem vos
crucifixistis. His aũt auditis cõpuncti ſũt
corde: ⁊ dixerunt ad petrum
⁊ ad reliquos apoſtolos. Quid faciem⁹
viri fratres? Petrus aũt ad [ vnuſqſq3 — Mat. 4. c. / Mar. 1. c.
illos: penitẽtiã inqt agite: ⁊ baptizetur — Luce. 13. a.
veſtrum in nomine ieſu chriſti [ donũ — Apoca. 1. d.
in remiſſionẽ pctõr vrõr: ⁊ accipietis
ſpiritus ſancti. Uobis enim eſt
remiſſio ⁊ filijs veſtris: et
oib⁹ q̃ lõge ſunt: quoſcũq3 aduocauerit
dñs deus noſter. Alijs etiam verbis
plurimis teſtificat⁹ ẽ ⁊ exhortabat eos
dicẽs. Saluamini a generatiõe iſta pra
ua. Qui ergo receperunt — B
ſermonẽ ei⁹ baptizati ſunt: ⁊ appoſite
ſũt i die illa anime circiter tria milia.
Erant aũt perſeuerantes in doctrina
apoſtolorum ⁊ communicatione
fractionis panis ⁊ orationib⁹. Fiebat
aũt oi anime timor. Multa quoq3 pdi
gia ⁊ ſigna per apoſtolos i hieruſalẽ fie
bãt: ⁊ met⁹ erat magn⁹ i vniuerſis. Oẽs ẽt — Infra. 4. a
q̃ credebãt erant pariter ⁊ hẽbant oĩa
cõia. Poſſeſſiões ⁊ ſubſtãtias vẽdebãt:
⁊ diuidebãt illa oibus put cuiq3 op⁹
erat. Quottidie quoq3 pdurãtes vnani
miter in tẽplo: ⁊ frãgentes circa domos
panẽ ſumebãt cibũ cũ exultatiõe ⁊ ſim
plicitate cordis collaudãtes deũ: ⁊ hñ=
tes gratiã ad oẽm plebẽ. Dñs autem
augebat qui ſalui fiebant quottidie
in idipſum. Cap. 3.

Petrus aũt ⁊ Johãnes aſcendebant — A
in templũ ad horam orationis
nonã. Et quidã vir qui erat claudus — Infr. 14. b.
ex vtero matris ſue baiulabatur:
quẽ ponebãt quottidie ad portam
templi que dicitur ſpecioſa: vt peteret
elemoſynam ab introeuntibus
in tẽplũ. Js cũ vidiſſet petrũ ⁊ iohannẽ
incipiẽtes itroire i tẽplũ rogabat vt ele
moſinã accipet. Jntuẽs aũt i eũ petr⁹ cũ
iohãne dixit. Reſpice i nos. At ille i
tẽdebat in eos: ſperãs ſe aliqd accepturũ
ab eis. Petrus aũt dixit. Argẽtũ ⁊ au
rũ non eſt mihi: qd aũt habeo hoc
tibi do. Jn noĩe ieſu chriſti — Infra. 9. d.
nazareni ſurge ⁊ ambula. Et
apphẽſa manu ei⁹ dextera alleuauit eũ
et ptinus conſolidate ſunt baſes eius
⁊ plante. Et exiliens ſtetit
⁊ ambulabat: ⁊ intrauit cum illis
i tẽplũ: ambulãs ⁊ exiliens — B

καὶ αἰνῶν τὸν θεόν. καὶ εἶδεν αὐτὸν πᾶς ὁ
λαὸς περιπατοῦντα καὶ αἰνοῦντα τὸν
θεόν. ἐπεγίνωσκον τε αὐτόν, ὅτι οὗτος ἦν ὁ
πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ ὡ=
ραίᾳ πύλῃ τοῦ ἱεροῦ, καὶ ἐπλήσθησαν θάμ=
βους καὶ ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι αὐ
τῷ. κρατοῦντος δὲ τοῦ ἰαθέντος χωλοῦ τὸν
πέτρον καὶ ἰωάννην, συνέδραμε πρὸς αὐ=
τοὺς πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμέ
νῃ σολομῶνος ἔκθαμβοι. ἰδὼν δὲ πέτρος
ἀπεκρίνατο πρὸς τὸν λαόν. ἄνδρες ἰσραη
λῖται τί θαυμάζετε ἐπὶ τούτῳ; ἢ ἡμῖν τί ἀτε
νίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιη=
κόσι τοῦ περιπατεῖν αὐτόν. ὁ θεὸς ἀβραὰμ
καὶ ἰσαὰκ καὶ ἰακώβ, ὁ θεὸς τῶν πατέρων ἡ
μῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ ἰησοῦν, ὃν
ὑμεῖς παρεδώκατε, καὶ ἠρνήσασθε αὐτὸν κα
τὰ πρόσωπον πιλάτου, κρίναντος ἐκείνου ἀ
πολύειν. ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρ
νήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆ
ναι ὑμῖν, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτεί=
νατε. ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς
μάρτυρές ἐσμεν. καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνό
ματος αὐτοῦ τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε
ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ
δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύ
την ἀπέναντι πάντων ὑμῶν. καὶ νῦν ἀδελ
φοί οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ
καὶ οἱ ἄρχοντες ὑμῶν. ὁ δὲ θεὸς ἃ προκα
τήγγειλε διὰ στόματος πάντων τῶν προ=
φητῶν αὐτοῦ παθεῖν τὸν χριστόν, ἐπλήρω
σεν οὕτως. μετανοήσατε οὖν καὶ ἐπιστρέψα
τε, εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας,
ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ
προσώπου τοῦ κυρίου, καὶ ἀποστείλῃ τὸν
προκεχειρισμένον ὑμῖν ἰησοῦν χριστόν, ὃν
δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀ=
ποκαταστάσεως πάντων, ὧν ἐλάλησεν ὁ θε
ὸς διὰ στόματος πάντων τῶν ἁγίων αὐτοῦ
προφητῶν ἀπ' αἰῶνος. μωσῆς μὲν γὰρ
πρὸς τοὺς πατέρας εἶπεν. ὅτι προφήτην
ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ὑμῶν ἐκ τῶν
ἀδελφῶν ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε,
κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑ=
μᾶς. ἔσται δὲ πᾶσα ψυχὴ ἥτις ἐὰν μὴ ἀ=
κούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθή=
σεται ἐκ τοῦ λαοῦ. καὶ πάντες δὲ οἱ προφῆ
ται ἀπὸ σαμουὴλ καὶ τῶν καθεξῆς ὅσοι ἐλά
λησαν, καὶ κατήγγειλαν τὰς ἡμέρας ταύ=
τας. ὑμεῖς ἐστὲ υἱοὶ τῶν προφητῶν καὶ
τῆς διαθήκης, ἧς διέθετο ὁ θεὸς πρὸς τοὺς
πατέρας ἡμῶν, λέγων πρὸς ἀβραάμ.
καὶ ἐν τῷ σπέρματί σου ἐνευλογηθήσον=

et laudans deum. Et vidit omnis
populus eum ambulantem et laudantem
deum. Cognoſcebant autem illum: quod ipſe erat
qui ad elemoſinam ſedebat ad ſpecioſam
portam templi. Et impleti ſunt ſtupore
et extaſi: in eo quod contigerat illi.
Cum tenerent autem
petrum et iohannem: cucurrit omnis populus ad e-
os ad porticum que appellatur
ſalomonis ſtupentes. Videns autem petrus
reſpondit ad populum. Viri iſraelite
quid miramini in hoc: aut nos quid intuemi
ni: quaſi noſtra virtute aut poteſtate fecerimus
hunc ambulare? Deus abraam
et deus iſaac et deus iacob: deus patrum no
ſtrorum glorificavit filium ſuum ieſum: quem
vos quidem tradidiſtis et negaſtis ante
faciem pilati: iudicante illo dimitti.
C
Vos autem ſanctum et iuſtum negaſtis: Mat.27.b. Mar.15.b.
et petiſtis virum homicidam donari Luc.23.c.
vobis: auctorem vero vite interfeciſtis. Joh.18.g.
Quem deus ſuſcitavit a mortuis: cuius nos
teſtes ſumus: et in fide nominis
eius hunc quem vos videtis et noſtis
confirmavit nomen eius: et fides que
per eum eſt dedit illi integram ſanitatem iſtam
in conſpectu omnium veſtrum. Et nunc fratres
ſcio quia per ignorantiam feciſtis: ſicut
et principes veſtri. Deus autem que prenunciavit
per os omnium prophetarum
pati chriſtum ſuum: ſic implevit.
Penitemini igitur et convertimini: Eccle.17.c.
ut deleantur peccata veſtra: Eze.18.g.
ut cum venerint tempora refrigerii a Mat.4.c.
conſpectu domini: et miſerit Mar.1.c. Luc.13.a.
eum qui predicatus eſt vobis ieſum chriſtum: quem Apoc.2.d.
D
oportet quidem celum ſuſcipere uſque in tempora re
ſtitutionis omnium que locutus eſt deus
per os ſanctorum ſuorum
a ſeculo prophetarum. Moyſes quidem
dixit. Quoniam prophetam Deut.18.d.
ſuſcitabit vobis dominus deus veſter de
fratribus veſtris tanquam me: ipſum audietis
iuxta omnia quecunque locutus fuerit vobis.
Erit autem omnis anima que non audierit
prophetam illum exterminabitur
de plebe. Et omnes prophete
a ſamuel et deinceps: qui locuti ſunt
annunciaverunt dies iſtos.
Vos eſtis filii prophetarum et
teſtamenti: quod diſpoſuit deus ad
patres veſtros dicens ad abraam.
Et in ſemine tuo benedicentur Gene.12.c.



Digitized by Google

ται πάσαι/αι πατριαί/της γης. υμίν πρώτον
/ο θεός αναστήσας/τον παίδα αυτού ιησούν
απέστειλεν αυτόν ευλογούντα υμάς, εν/τω
αποστρέφειν έκαστον από/των πονηριών
υμών. Cap.4.

Λαλούντων δε αυτών προς/τον λαόν
επέστησαν αυτοίς/οι ιερείς και/ο στρατη
γός/του ιερού και/οι σαδδουκαίοι, διαπο=
νούμενοι διά/το διδάσκειν αυτούς/τον λαόν
και καταγγέλειν εν/τω ιησού/την ανάστα=
σιν/των νεκρών. και επέβαλον αυτοίς/τας χεί
ρας, και έθεντο εις τήρησιν εις/την αύριον.
ην γαρ εσπέρα ήδη. πολλοί δε/των ακου
σάντων/τον λόγον επίστευσαν, και εγενήθη/ο
αριθμός/των ανδρών ωσεί χιλιάδες πέντε.
εγένετο δε επί/την αύριον συναχθήναι αυ=
τών/τους άρχοντας και πρεσβυτέρους και
γραμματείς εις ιερουσαλήμ και άνναν/τον
αρχιερέα, και καϊάφαν και ιωάννην και αλέ=
ξανδρον, και όσοι ήσαν εκ γένους αρχιερατι
κού. και στήσαντες αυτούς εν μέσω επυν=
θάνοντο. εν ποία δυνάμει η εν ποίω ονόμα
τι εποιήσατε τούτο υμείς. τότε πέτρος πλη
σθείς πνεύματος αγίου είπε προς αυτούς.
άρχοντες/του λαού και πρεσβύτεροι/του
ισραήλ. ει ημείς σήμερον ανακρινόμεθα επί
ευεργεσία ανθρώπου ασθενούς, εν τίνι ού=
τος σέσωσται, γνωστόν έστω πάσιν υμίν και
παντί/τω λαώ ισραήλ, ότι εν/τω ονόματι
ιησού χριστού/του ναζωραίου, ον υμείς εσ
ταυρώσατε, ον/ο θεός ήγειρεν εκ νεκρών, εν
τούτω ούτος παρέστηκεν ενώπιον υμών υ
γιής. ούτος εστίν/ο λίθος/ο εξουθενηθείς
υφ υμών/των οικοδομούντων,/ο γενόμενος
εις κεφαλήν γωνίας, και ουκ εστίν εν άλ=
λω ουδενί/η σωτηρία. ουδέν γαρ όνομα έ
τερον εστίν υπό/τον ουρανόν/το δεδομέ=
νον εν ανθρώποις, εν ω δει σωθήναι ημάς.
θεωρούντες δε/την/του πέτρου παρρησίαν
και ιωάννου, και καταλαβόμενοι ότι άνθρω
ποι αγράμματοι εισί και ιδιώται, εθαύμα=
ζον, επεγίνωσκόν τε αυτούς ότι σύν/τω ιη=
σού ήσαν. τον δε άνθρωπον βλέποντες σύν
αυτοίς εστώτα/τον τεθεραπευμένον, ουδέν
είχον αντειπείν. κελεύσαντες δε αυτούς έ=
ξω/του συνεδρίου απελθείν συνέβαλον προς
αλλήλους λέγοντες. τι ποιήσομεν/τοις αν=
θρώποις τούτοις, ότι μεν γαρ γνωστόν ση=
μείον γέγονε δι αυτών πάσι/τοις κατοικού
σιν ιερουσαλήμ φανερόν, και ου δυνάμεθα
αρνήσασθαι. αλλ ίνα μη επί πλείον δια=
νεμηθή εις/τον λαόν, απειλή απειλησώ=
μεθα αυτοίς, μηκέτι λαλείν επί/τω ονόμα=
τι τούτω μηδενί ανθρώπω. και καλέ=

omnes familie terre. Vobis primuꝫ
deus ſuſcitans filium ſuum
miſit eum benedicentem vobis: vt
conuertat ſe vnuſquiſqꝫ a nequitia
ſua. Cap.4.

LOquentibus aūt illis ad populum A
ſupuenerūt ſacerdotes ⁊ magſ̄atꝰ
templi ⁊ ſaducei: dolentes
ꝙ docerent populum
⁊ annunciarent in ieſum reſurrectionē ex
mortuis. Et iniecerunt in eos manus:
⁊ poſuerūt eos in cuſtodiā in craſtinuꝫ.
Erat āt iam veſpera. Multi āt eoꝝ q̃
audierāt verbū crediderūt: ⁊ factus eſt
numerus viroꝝ quaſi quinqꝫ milia.
Factū ē āt i craſtinū vt congregarentur
principes eorum ⁊ ſeniores ⁊
ſcribe in hieruſalem: ⁊ annas
ꝑnceps ſacerdotū: ⁊ caiphas ⁊ iohānes
⁊ alexāder: ⁊ quotquot erāt de gñe ſa
cerdotali. Et ſtatuētes eos i medio in
terrogabāt. In q̃ virtute, aut i quo no
mine feciſtis hoc vos? Tunc repletus B
ſpū ſancto petrus dixit ad eos.
Principes populi et ſeniores
iſrl̃ audite. Si nos hodie diiudicamur i
bn̄facto hominis infirmi in quo iſte
ſaluus factꝰ ē: notū ſit oībus vobis et
omni plebi iſrael: qr in nomine dn̄i nr̄i
ieſu xp̄i nazareni quem vos crucifixiſtis
quē deus ſuſcitauit a mortuis: in
hoc iſte aſtat coram vobis ſanus.
Hic eſt lapis qui reprobatus eſt Ps.117.
a vobis edificantibus: qui factus eſt Mat.21.g.
in caput anguli: ⁊ non eſt in alio Mar.12.c.
aliquo ſalus. Nec enim alud nomē Luce.20.c. 1.Pet.2.a.
eſt ſub celo datum
hoībꝰ in quo oporteat nos ſaluos fieri.
Videntes autem petri conſtantiam
⁊ iohannis: comperto ꝙ hoies
eſſent ſine litteris ⁊ idiote ammirabāt:
⁊ cognoſcebant eos qm̄ cum ieſu cū
fuerant. Hominem quoqꝫ vidētes ſtātē C
eis qui curatus fuerat: nihil
poterāt cōtradicere. Juſſerūt āt eos fo
ras extra cōciliū ſecedere: ⁊ ꝯferebāt ad
inuicēꝫ dicentes. Quid faciemꝰ hoībꝰ
iſtis: qm̄ quidē notum ſignum
factū eſt ꝑ eos omnibus habitantibus
hierl̃m manifeſtū eſt: ⁊ non poſſumus
negare. Sꝫ ne amplius diuulgetur
in populū: cōminemur
eis: ne vltra loquantur in nomine
hoc vlli hominum. Et vocantes

Digitized by Google

σαντες αυτούς παρήγγειλαν αυτοίς το καθόλου μη φθέγγεσθαι μηδε διδάσκειν επί
τω ονόματι του ιησού. ο δε πέτρος και ιωάννης αποκριθέντες προς αυτους είπον. ει
δίκαιον εστίν ενώπιον του θεού υμών ακούειν μάλλον η του θεού, κρίνατε. ου δυνάμεθα γαρ ημείς α είδομεν και ηκούσαμεν μη λαλείν. οι δε προσαπειλησάμενοι απέλυσαν
nomē ſtelle dicitur abſinthium:



Digitized by Google

καὶ ἐγένετο τὸ τρίτον τῶν ὑδάτων εἰς ἄψιν-
θον, καὶ πολλοὶ τῶν ἀνθρώπων ἀπέθανον
ἐκ τῶν ὑδάτων, ὅτι ἐπικράνθησαν. καὶ ὁ τέτ-
ταρτος ἄγγελος ἐσάλπισε, καὶ ἐπλήγη τὸ
τρίτον τοῦ ἡλίου καὶ τὸ τρίτον τῆς σελή-
νης καὶ τὸ τρίτον τῶν ἀστέρων, ἵνα σκοτισ-
θῇ τὸ τρίτον αὐτῶν, καὶ ἡ ἡμέρα μὴ φαίνῃ
τὸ τρίτον αὐτῆς, καὶ ἡ νὺξ ὁμοίως. καὶ εἶ-
δον καὶ ἤκουσα ἑνὸς ἀετοῦ πετομένου ἐν
μεσουρανήματι λέγοντος φωνῇ μεγάλῃ
τρίς. οὐαί, οὐαί, οὐαὶ τοῖς κατοικοῦσιν ἐπὶ
τῆς γῆς ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλ-
πιγγος τῶν τριῶν ἀγγέλων τῶν μελλόν-
των σαλπίζειν. Cap. 9.

Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισε, καὶ εἶ-
δον ἀστέρα ἐκ τοῦ οὐρανοῦ πεπτωκό-
τα εἰς τὴν γῆν, καὶ ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ
φρέατος τῆς ἀβύσσου, καὶ ἤνοιξε τὸ φρέαρ
τῆς ἀβύσσου. καὶ ἀνέβη καπνὸς ἐκ τοῦ φρέα-
τος ὡς καπνὸς καμίνου καιομένης, καὶ ἐσ-
κοτίσθη ὁ ἥλιος, καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ
τοῦ φρέατος. καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀ-
κρίδες εἰς τὴν γῆν, καὶ ἐδόθη αὐταῖς ἐξου-
σία ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορπίοι τῆς γῆς.
καὶ ἐρρέθη αὐτοῖς ἵνα μὴ ἀδικήσωσι τὸν
χόρτον τῆς γῆς, οὐδὲ πᾶν χλωρὸν, οὐδὲ
πᾶν δένδρον, εἰ μὴ τοὺς ἀνθρώπους μόνους,
οἵτινες οὐκ ἔχουσι τὴν σφραγίδα τοῦ θεοῦ
ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ ἐδόθη αὐ-
ταῖς ἵνα μὴ ἀποκτείνωσιν αὐτοὺς, ἀλλ' ἵνα
βασανίσωσι μῆνας πέντε, καὶ ὁ βασανισμὸς
αὐτῶν ὡς βασανισμὸς σκορπίου ὅταν πλή-
ξῃ ἄνθρωπον. καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ζη-
τήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον, καὶ οὐ μὴ εὑ-
ρήσουσιν αὐτὸν, καὶ ἐπιθυμήσουσιν ἀποθα-
νεῖν, καὶ φεύξεται ἀπ' αὐτῶν ὁ θάνατος. καὶ
τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια ἵπποις
ἡτοιμασμένα εἰς πόλεμον, καὶ ἐπὶ τὰς κε-
φαλὰς αὐτῶν ὡς στέφανοι χρυσοῖ, καὶ τὰ
πρόσωπα αὐτῶν ὡς πρόσωπα ἀνθρώ-
πων. καὶ εἶχον τρίχας ὡς τρίχας γυναι-
κῶν, καὶ οἱ ὀδόντες αὐτῶν ὡς λεόντων ἦ-
σαν, καὶ εἶχον θώρακας ὡς θώρακας σιδη-
ροῦς. καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν
ὡς φωνὴ ἁρμάτων ἵππων πολλῶν τρεχόν-
των εἰς πόλεμον, καὶ ἔχουσιν οὐρὰς ὁμοί-
ας σκορπίοις καὶ κέντρα, καὶ ἐν ταῖς οὐραῖς
αὐτῶν ἐξουσίαν ἔχουσι τοῦ ἀδικῆσαι τοὺς
ἀνθρώπους μῆνας πέντε. ἔχουσαι βασιλέα
ἐπ' αὐτῶν ἄγγελον τῆς ἀβύσσου, ὄνομα
αὐτῷ ἑβραϊστὶ ἀββαδὼν, ἐν δὲ τῇ ἑλληνι-
κῇ ὄνομα ἔχει ὁ ἀπολλύων. ἡ οὐαὶ ἡ μία

Et fctã est tertia ꝑs aquarũ in abſinthi- D
u3: ꝛ multi hominum mortui ſunt
de aq̄s: q2 amare facte ſunt. Et q̄rtus
angelus cecinit: ꝛ percuſſa eſt
tertia pars ſolis ꝛ tertia pars lune
ꝛ tertia pars ſtellarum: ita vt obſcura-
retur tertia ꝑs eorum: ꝛ diei nõ luceret
ꝑs tertia: ꝛ noctis ſimiliter. Et vidi
ꝛ audiui vocẽ vni9 aquile volantis per
mediũ celi dicẽtis voce magna.
Ve ve ve habitantibus in
terra de ceteris vocibus
trium angelorum qui erant
tuba canituri. Cap. 9.

ET quintus angelus tuba cecinit: ꝛ A
vidi ſtellam de celo cecidiſſe
in terrã: et data eſt ei clauis
putei abyſſi: et aperuit puteũ
abyſſi: et aſcendit fumus putei ĩ.14.c.et.
ſicut fum9 fornacis magne: et obſcura- 19.a.
tus eſt ſol et aer de fumo
putei. Et de fumo putei exierũt locuſte
in terram: et data eſt illis poteſtas
ſicut hñt poteſtatẽ ſcorpiones terre.
Et preceptum eſt illis ne lederent
fenũ terre neq3 omne viride neq3
omnem arborem: niſi tantum homines Ezech.9.b
qui non habent ſignum dei supra.7.a.
in frõtibus ſuis. Et datum eſt illis
ne ociderent eos: ſed vt
cruciarẽt mẽſibus q̄nq3: ꝛ cruciatus
eorum vt cruciatus ſcorpij cum ꝑcutit B
hoiẽ. Et in diebus illis querent sup.6.d.
homines mortem et non inuenient Esa.2.d
eam: et deſiderabunt mori: Osee.10.c.
et fugiet mors ab eis. Et Luce.23.c.
ſilitudies locuſtarum ſimiles equis sap.16.b
paratis in prelium: et ſuper capita
earum tanq̄ corone ſiles auro: et
facies earum ſicut facies hominum.
Et hẽbãt capillos ſicut capillos mulierꝝ:
et dẽtes earꝝ ſicut dẽtes leonum erãt.
Et habebant loricas ſicut loricas ferre-
as: et vox alarum earum
ſicut vox curruũ equorꝝ multorũ currẽ-
tiũ ĩ bellũ: et habebant caudas ſimiles
ſcorpionu3: et aculei erant in caudis
earum: et ptãs earum nocere regẽ
hoib9 mẽſibus quinq3. Et hẽbãt ſup ſe
angelum abyſſi: cui nomen
hebraice abaddon: grece
aũt apollyõ: et latine hñs nomẽ extermi-
nans. Ve vnum C

Digitized by Google

ἀπώλεσεν. ἰδοὺ ἔρχεται ἔτι δύο οὐαὶ μετὰ ταῦτα. καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισε, καὶ ἤκουσα φωνὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ θεοῦ, λέγουσαν τῷ ἕκτῳ ἀγγέλῳ ὁ ἔχων τὴν σάλπιγγα, λῦσον τοὺς τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ εὐφράτῃ. καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ μῆνα καὶ ἐνιαυτόν, ἵνα ἀποκτείνωσι τὸ τρίτον τῶν ἀνθρώπων. καὶ ὁ ἀριθμὸς τῶν στρατευμάτων τοῦ ἵππου μυριάδες μυριάδων, ἤκουσα τὸν ἀριθμὸν αὐτῶν. καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ ὁράσει, καὶ τοὺς καθημένους ἐπ' αὐτῶν, ἔχοντας θώρακας πυρίνους καὶ ὑακινθίνους καὶ θειώδεις, καὶ αἱ κεφαλαὶ τῶν ἵππων ὡς κεφαλαὶ λεόντων, καὶ ἐκ τῶν στομάτων αὐτῶν ἐκπορεύεται πῦρ καὶ καπνὸς καὶ θεῖον. ἀπὸ τῶν τριῶν πληγῶν τούτων ἀπεκτάνθησαν τὸ τρίτον τῶν ἀνθρώπων ἐκ τοῦ πυρὸς καὶ τοῦ καπνοῦ καὶ τοῦ θείου τοῦ ἐκπορευομένου ἐκ τῶν στομάτων αὐτῶν. ἡ γὰρ ἐξουσία τῶν ἵππων ἐν τῷ στόματι αὐτῶν ἐστὶ καὶ ἐν ταῖς οὐραῖς αὐτῶν. αἱ γὰρ οὐραὶ αὐτῶν ὅμοιοι ὄφεσιν ἔχουσαι κεφαλάς, καὶ ἐν αὐταῖς ἀδικοῦσι. καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων οἱ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς ταύταις, οὐ μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν, ἵνα μὴ προσκυνήσωσι τὰ δαιμόνια καὶ τὰ εἴδωλα τὰ χρυσᾶ, καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ, καὶ τὰ λίθινα, καὶ τὰ ξύλινα, ἃ οὔτε βλέπειν δύναται, οὔτε ἀκούειν, οὔτε περιπατεῖν, καὶ οὐ μετενόησαν ἐκ τῶν φόνων αὐτῶν, οὔτε ἐκ τῶν φαρμακιῶν αὐτῶν, οὔτε ἐκ τῆς πορνείας αὐτῶν, οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν. Cap.10.

Καὶ εἶδον ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ περιβεβλημένον νεφέλην, καὶ ἡ ἶρις ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ οἱ πόδες αὐτοῦ ὡς στῦλοι πυρός. καὶ εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ βιβλιδάριον ἀνεῳγμένον, καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τῆς θαλάσσης, τὸν δὲ εὐώνυμον ἐπὶ τῆς γῆς, καὶ ἔκραξε φωνῇ μεγάλῃ ὥσπερ λέων μυκᾶται. καὶ ὅτε ἔκραξεν ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν φωνάς, καὶ ὅτε ἐλάλησαν αἱ ἑπτὰ βρονταί, ἔμελλον γράφειν καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν. σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ καὶ μετὰ ταῦτα γράφεις. καὶ ὁ ἄγγελος ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς

abijt: ⁊ ecce veniũt adhuc duo ve poſt hec. Et ſextꝰ ãgelꝰ tuba cecinit: ⁊ audiui vocem vnam ex quattuor cornibus altaris aurei qđ eſt ante oculos dei: dicentẽ ſexto angelo qui habebat tubam. Solue quattuor angelos qui alligati ſunt in flumine magno eufrate. Et ſoluti ſunt quattuor angeli qui parati erant in horã ⁊ diẽ ⁊ mẽſẽ ⁊ annũ: vt occiderẽt tertiam partem hoim. Et numerus equeſtris exercitus vicies milies dena milia: ⁊ audiui numerum eorũ. Et ita vidi equos in viſione: ⁊ qui ſedebant ſuper eos habebãt loricas igneas ⁊ hyacinthinas ⁊ ſulphureas: ⁊ capita equorũ erant tanq̃ capita leonum: ⁊ de ore eorum procedit ignis ⁊ fumus ⁊ ſulphur. Et ab his tribus plagis occiſa eſt tertia pars hominum de igne ⁊ de fumo ⁊ ſulphure que procedebant ex ore ipſorum. Poteſtas enim equorum in ore eorum eſt ⁊ in caudis eorum. Nam caude eorũ ſimiles ſerpentibus habẽtes capita: ⁊ in his nocent. Et ceteri homines qui non ſunt occiſi in his plagis neq̃ pniam egerunt de operibus manuum ſuarum vt non adorarent demonia ⁊ ſimulacra aurea ⁊ argentea ⁊ erea ⁊ lapidea ⁊ lignea: q̃ neq̃ videre pñt neq̃ audire neq̃ ambulare: ⁊ non egerunt pniam ab homicidijs ſuis neq̃ a veneficijs ſuis neq̃ a fornicatione ſua neq̃ a furtis ſuis. Cap.10.

Et vidi aliũ angelũ fortẽ deſcẽdentẽ de celo amictum nube ⁊ iris in capite eius. Et facies eius erat vt ſol: ⁊ pedes eius tanq̃ colũne ignis. Et hẽbat in manu ſua libellum apertũ: ⁊ poſuit pedem ſuum dextrum ſupra mare: ſiniſtrum autẽ ſuper terrã: ⁊ clamauit voce magna queadmodũ cũ leo rugit: ⁊ cũ clamaſſet locuta ſũt ſeptẽ tõitrua voces ſuas. ⁊ cũ locuta fuiſſet ſeptẽ tõitrua voces ſuas: ⁊ ego ſcripturꝰ eraũ: ⁊ audiui vocẽ de celo dicẽtẽ mihi. Signa q̃ locuta ſunt ſeptẽ tonitrua: ⁊ noli ea ſcribere: ⁊ angelus quem vidi ſtantẽ ſupra mare ⁊ ſupra terram

D (margin, beside "ignis ⁊ fumus ⁊ ſulphur") · A (margin, beside "Et vidi aliũ angelũ") · B (margin, beside "tõitrua voces ſuas") · Daniel.12.c (margin, beside "noli ea ſcribere")

ἦρε τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν εἰς τὸν οὐ
ρανόν, καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τοὺς αἰ=
ῶνας τῶν αἰώνων, ὃς ἔκτισε τὸν οὐρανὸν
καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ,
καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ, ὅτι χρό
νος οὐκ ἔτι ἔσται, ἀλλ' ἐν ταῖς ἡμέραις τῆς
φωνῆς τοῦ ἑβδόμου ἀγγέλου ὅταν μέλλῃ
σαλπίζειν τελεσθῇ τὸ μυστήριον τοῦ θεοῦ,
ὃ εὐηγγελίσατο τοὺς δούλους αὐτοῦ τοὺς
προφήτας. καὶ ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐ
ρανοῦ πάλιν λαλοῦσα μετ' ἐμοῦ καὶ λέ=
γουσα. ὕπαγε λάβε τὸ βιβλιδάριον τὸ ἀνε
ωγμένον ἐν τῇ χειρὶ τοῦ ἀγγέλου τοῦ ἑστῶ
τος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς, καὶ ἀ
πῆλθον πρὸς τὸν ἄγγελον λέγων αὐτῷ.
δός μοι τὸ βιβλιδάριον, καὶ λέγει μοι. λάβε
καὶ κατάφαγε αὐτό, καὶ πικρανεῖ σου τὴν
κοιλίαν, ἀλλ' ἐν τῷ στόματί σου ἔσται γλυ
κὺ ὡς μέλι. καὶ ἔλαβον τὸ βιβλιδάριον ἐκ
τῆς χειρὸς τοῦ ἀγγέλου, καὶ κατέφαγον αὐ
τό, καὶ ἦν ἐν τῷ στόματί μου ὡς μέλι γλυ
κύ, καὶ ὅτε ἔφαγον αὐτὸ ἐπικράνθη ἡ κοιλία
μου, καὶ λέγει μοι. δεῖ σε πάλιν προφητεῦ
σαι ἐπὶ λαοῖς καὶ ἐπὶ ἔθνεσι καὶ γλώσσαις καὶ
βασιλεῦσι πολλοῖς. Cap. 11.

Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ, καὶ
εἱστήκει ὁ ἄγγελος λέγων. ἔγειραι καὶ
μέτρησον τὸν ναὸν τοῦ θεοῦ καὶ τὸ θυσια
στήριον καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ.
καὶ τὴν αὐλὴν τὴν ἔξωθεν τοῦ ναοῦ ἔκβαλε
ἔξωθεν, καὶ μὴ αὐτὴν μετρήσεις, ὅτι ἐδόθη
τοῖς ἔθνεσι, καὶ τὴν πόλιν τὴν ἁγίαν πατή
σουσι μῆνας τεσσαρακονταδύο, καὶ δώσω
τοῖς δυσὶ μάρτυσί μου καὶ προφητεύσου=
σιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα περι=
βεβλημένοι σάκκους. οὗτοί εἰσιν αἱ δύο ἐλαῖ
αι καὶ αἱ δύο λυχνίαι αἱ ἐνώπιον τοῦ κυρί
ου τῆς γῆς ἑστῶσαι. καὶ εἴτις αὐτοὺς θέλει ἀ
δικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος
αὐτῶν, καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν,
καὶ εἴτις θέλει αὐτοὺς ἀδικῆσαι, οὕτως δεῖ
αὐτὸν ἀποκτανθῆναι. οὗτοι ἔχουσιν ἐξουσί
αν κλεῖσαι τὸν οὐρανὸν ἵνα μὴ ὑετὸς βρέχῃ
τὰς ἡμέρας τῆς προφητείας αὐτῶν, καὶ ἐξου
σίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων στρέφειν αὐ
τὰ εἰς αἷμα, καὶ πατάξαι τὴν γῆν ἐν πάσῃ πλη
γῇ ὁσάκις ἐὰν θελήσωσι. καὶ ὅταν τελέσωσι
τὴν μαρτυρίαν αὐτῶν, τὸ θηρίον τὸ ἀναβαῖ
νον ἐκ τῆς ἀβύσσου ποιήσει μετ' αὐτῶν πό
λεμον, καὶ νικήσει αὐτοὺς καὶ ἀποκτενεῖ αὐ
τούς, καὶ τὰ πτώματα αὐτῶν ἐπὶ τῆς πλατεί
ας τῆς πόλεως τῆς μεγάλης, ἥτις καλεῖται
πνευματικῶς σόδομα καὶ αἴγυπτος, ὅπου

leuauit manum ſuam ad celum
et iurauit per viuentem in ſecula
ſeculorum: qui creauit celum
et ea que in eo ſunt: et terram et ea que in ea C
ſunt: et mare et ea que in eo ſunt: quia tempus
non erit amplius: ſed in diebus
vocis ſeptimi angeli cum ceperit
tuba canere: conſummabitur myſterium dei:
ſicut euangelizauit per ſeruos ſuos
prophetas. Et audiui vocem de celo
iterum loquentem mecum et dicentem.
Uade et accipe librum apertum
de manu angeli ſtantis
ſupra mare et ſuper terram: et abij
ad angelum dicens ei vt
daret mihi librum: et dixit mihi. Accipe D
librum et deuora illum: et faciet amarica
ri ventrem tuum: ſed in ore tuo erit dul
ce tanquam mel. Et accepi librum de Eze. 3. a.
manu angeli et deuoraui illum:
et erat in ore meo tanquam mel dulce:
et cum deuoraſſem eum amaricatus eſt ven
ter meus: et dixit mihi. Oportet te iterum pro
phetizare gentibus et populis et linguis et
regibus multis. Cap. 11.

Et datus eſt mihi calamus ſimilis virge A
et dictum eſt mihi. Surge et
metire templum dei et altare:
et adorantes in eo.
Atrium autem quod eſt foris templum eijce
foras et ne metiaris illud: quoniam datum eſt
gentibus: et ciuitatem ſanctam calcabunt
menſibus quadraginta duobus: et dabo
duobus teſtibus meis: et prophetabunt
diebus mille ducentis ſexaginta amicti
ſaccis. Hi ſunt due oliue
et duo candelabra in conſpectu domini
terre ſtantes: et ſi quis voluerit eos noce
re: ignis exiet de ore
eorum et deuorabit inimicos eorum:
et ſi quis voluerit eos ledere ſic oportet
eum occidi. Hi habent poteſtatem B
claudendi celum ne pluat
diebus prophetie illorum: et poteſtatem
habent ſuper aquas conuertendi eas
in ſanguinem et percutere terram omni plaga
quotienſcunque voluerint. Et cum finierit
teſtimonium ſuum: beſtia que aſcendit
de abyſſo faciet aduerſus eos bellum:
et vincet illos et occidet eos:
et corpora eorum iacebunt in plateis
ciuitatis magne que vocatur
ſpiritualiter ſodoma et egyptus: vbi

Digitized by Google

καὶ ὁ κύριος αὐτῶν ἐσταυρώθη. καὶ βλέπου
σιν ἐκ τῶν λαῶν καὶ φυλῶν καὶ γλωσσῶν
καὶ ἐθνῶν τὰ πτώματα αὐτῶν ἡμέρας τρεῖς
ἥμισυ. καὶ τὰ πτώματα αὐτῶν οὐχ ἀφήσου
σι τεθῆναι εἰς μνῆμα. καὶ οἱ κατοικοῦντες ἐ
πὶ τῆς γῆς χαίρουσιν ἐπ᾽ αὐτοῖς. καὶ εὐφραν
θήσονται. καὶ δῶρα πέμψουσιν ἀλλήλοις.
ὅτι οὗτοι οἱ δύο προφῆται ἐβασάνισαν
τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. καὶ μετὰ
τρεῖς ἡμέρας καὶ ἥμισυ πνεῦμα ζωῆς ἐκ τοῦ
θεοῦ εἰσῆλθεν ἐπ᾽ αὐτούς. καὶ ἔστησαν ἐπὶ
τοὺς πόδας αὐτῶν. καὶ φόβος μέγας ἐπέ-
πεσεν ἐπὶ τοὺς θεωροῦντας αὐτούς. καὶ ἤ-
κουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ λε-
γούσης αὐτοῖς. ἀνάβητε ὧδε. καὶ ἀνέβησαν
εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ. καὶ ἐθεώρησαν
αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν. καὶ ἐν ἐκείνῃ τῇ
ἡμέρᾳ ἐγένετο σεισμὸς μέγας. καὶ τὸ δέκα-
τον τῆς πόλεως ἔπεσε. καὶ ἀπεκτάνθησαν ἐν
τῷ σεισμῷ ὀνόματα ἀνθρώπων χιλιάδες ἑ
πτά. καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο. καὶ ἔ
δωκαν δόξαν τῷ θεῷ τοῦ οὐρανοῦ. ἡ οὐαὶ
ἡ δευτέρα ἀπῆλθεν. ἡ οὐαὶ ἡ τρίτη ἰδοὺ ἔρ
χεται ταχύ. καὶ ὁ ἕβδομος ἄγγελος ἐσάλπι
σε. καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρα
νῷ λέγουσαι. ἐγένετο ἡ βασιλεία τοῦ κόσ-
μου τοῦ κυρίου ἡμῶν καὶ τοῦ χριστοῦ αὐ-
τοῦ. καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν αἰ
ώνων. καὶ οἱ εἴκοσι τέσσαρες πρεσβύτεροι οἱ
ἐνώπιον τοῦ θεοῦ καθήμενοι ἐπὶ τοὺς θρό-
νους αὐτῶν, ἔπεσον ἐπὶ τὰ πρόσωπα αὐ-
τῶν. καὶ προσεκύνησαν τῷ θεῷ, λέγοντες.
εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς ὁ παντο-
κράτωρ. ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος. ὅτι
εἴληφας τὴν δύναμίν σου τὴν μεγάλην καὶ
ἐβασίλευσας. καὶ τὰ ἔθνη ὠργίσθησαν. καὶ ἦλ
θεν ἡ ὀργή σου. καὶ ὁ καιρὸς τῶν νεκρῶν κρι
θῆναι καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις
σου τοῖς προφήταις καὶ τοῖς ἁγίοις καὶ
τοῖς φοβουμένοις τὸ ὄνομά σου τοῖς μι
κροῖς καὶ τοῖς μεγάλοις. καὶ διαφθεῖραι τοὺς
διαφθείροντας τὴν γῆν. καὶ ἠνοίγη ὁ ναὸς
τοῦ θεοῦ ἐν τῷ οὐρανῷ. καὶ ὤφθη ἡ κιβω-
τὸς τῆς διαθήκης τοῦ κυρίου ἐν τῷ ναῷ αὐ
τοῦ. καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ
βρονταὶ καὶ χάλαζα μεγάλη. Cap. 12.

Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ.
γυνὴ περιβεβλημένη τὸν ἥλιον. καὶ ἡ σε
λήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς. καὶ ἐπὶ
τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώ
δεκα. καὶ ἐν γαστρὶ ἔχουσα, ἔκραζεν ὠδίνου
σα καὶ βασανιζομένη τεκεῖν. καὶ ὤφθη ἄλ-
λο σημεῖον ἐν τῷ οὐρανῷ. καὶ ἰδοὺ δράκων

dñs eorum crucifix⁹ eſt: et videbunt
de tribubus et populis et linguis
et gentibus corpora eorū per tres dies
et dimidium: et corpora eorū non ſinent
poni in monumentis: et inhabitantes
terrā gaudebūt ſuper illos et iocūdabū
tur et munera mittent inuicem:
qm̄ hi duo prophete cruciauerunt
eos q̄ hītabāt ſup terram. Et poſt C
dies tres et dimidiū ſpiritus vite a Ezec.37.c.
deo intrauit in eos: et ſteterunt ſuper
pedes ſuos: et timor magnus cecidit
ſuper eos qui viderunt eos. Et audie
runt vocem magnā de celo dicentem
eis. Aſcendite huc. Et aſcenderunt Act.1.b. Luce.24.g
in celum in nube: et viderunt
illos inimici eorū. Et in illa
hora factus ē terremot⁹ magn⁹: et deci
ma pars ciuitatis cecidit. Et occiſa ſūt ī
terremotu nōia hoīm ſeptē milia:
et reliq̄ in timorē ſunt miſſi: et dederūt
gloriam deo celi. Ve
ſecūdū abijt: et ecce ve tertium veniet
cito. Et ſeptim⁹ angelus tuba cecinit:
et facte ſunt voces magne in celo
dicētes. Factū eſt regnū huius mundi D
dñi noſtri et xp̄i eius:
et regnabūt in ſecula ſeculorum
Amen. Et viginti quattuor ſeniores
q̄ in cōſpectu dei ſedent in ſedibus
ſuis ceciderunt in facies ſuas:
et adorauerunt deum dicentes.
Gras agim⁹ tibi dñe de⁹ oīpotēs:
q̄ es: et q̄ eras: et q̄ venturus es: q̄
accepiſti virtutē tuā magnam et
regnaſti. Et irate ſūt gētes: et aduenit
ira tua: et tp̄s mortuorum iudicari
et reddere mercedem ſeruis
tuis prophetis et ſanctis et
timētibus nomē tuū puſillis
et magnis: et exterminandi
eos q̄ corruperunt terrā. Et apertū ē tē
plum dei in celo: et viſa eſt arca
teſtamenti in templo eius.
Et fctā ſunt fulgura et voces et
terremotus et grando magna. Cap. 12.

Et ſignū magnū apparuit in celo. A
Mulier amicta ſole et luna
ſub pedibus ei⁹: et in
capite ei⁹ corona ſtellarū duodecim:
et in vtero hñs clamabat parturiens
et cruciat̄ vt pariat. Et viſum ē aliud
ſignū in celo. Et ecce draco

Digitized by Google

μέγας πυρρός ἔχων κεφαλάς επτά και κέρα
τα δέκα, και επί τας κεφαλάς αυτού επτά
διαδήματα, και η ουρά αυτού σύρει το τρί=
τον των αστέρων του ουρανού, και έβαλεν
αυτούς εις την γην. και ο δράκων έστηκεν ε
νώπιον της γυναικός της μελούσης τίκτειν,
ίνα όταν τέκη το τέκνον αυτής καταφάγη.
και έτεκεν υιόν άρρενα, ος μέλλει ποιμα
νείν πάντα τα έθνη εν ράβδω σιδηρά. και ηρ
πάγη το τέκνον αυτής πρός τον θεόν και
προς τον θρόνον αυτού, και η γυνή έφυγεν
εις την έρημον, όπου έχει εκεί τόπον ητοι=
μασμένον από του θεού, ίνα εκεί εκτρέφω=
σιν αυτήν ημέρας χιλίας διακοσίας εξήκον=
τα. και εγένετο πόλεμος εν τω ουρανώ. ο
μιχαήλ και οι άγγελοι αυτού του πολε=
μήσαι μετά του δράκοντος, και ο δράκων ε=
πολέμησε και οι άγγελοι αυτού, και ουκ ίσ
χυσεν, ουδέ τόπος ευρέθη αυτών έτι εν τω ου
ρανώ. και εβλήθη ο δράκων ο μέγας ο όφις
ο αρχαίος ο καλούμενος διάβολος, και σα
τανάς ο πλανών την οικουμενήν όλην εβλή
θη εις την γην, και οι άγγελοι αυτού μετ
αυτού εβλήθησαν. και ήκουσα φωνήν με=
γάλην εν τω ουρανώ λέγουσαν. άρτι εγέ=
νετο η σωτηρία και η δύναμις και η βασιλεία
του θεού ημών και η εξουσία του χριστού
αυτού, ότι κατεβλήθη ο κατήγορος των α=
δελφών ημών, ο κατηγορών αυτών ενώπι
ον του θεού ημών ημέρας και νυκτός. και αυ
τοί ενίκησαν αυτόν διά το αίμα του αρνίου
και διά τον λόγον της μαρτυρίας αυτών,
και ουκ ηγάπησαν την ψυχήν αυτών άχρι
θανάτου. διατούτο ευφραίνεσθε οι ουρανοί
και οι εν αυτοίς σκηνούντες. ουαί τη γη και
τη θαλάσση, ότι κατέβη ο διάβολος προς υ
μάς, έχων θυμόν μέγαν, ειδώς ότι ολίγον
καιρόν έχει. και ότε είδεν ο δράκων ότι εβλή
θη εις γην, εδίωξε την γυναίκα, ήτις έτεκε
τον άρρενα και εδόθησαν τη γυναικί δύο πτέ
ρυγες του αετού του μεγάλου, ίνα πέτη=
ται εις την έρημον εις τον τόπον αυτής, ό=
πως τρέφηται εκεί καιρόν και καιρούς και
ήμισυ καιρού από προσώπου του όφεως.
και έβαλεν ο όφις εκ του στόματος αυτού
οπίσω της γυναικός ύδωρ ως ποταμόν, ί=
να αυτήν ποταμοφόρητον ποιήση. και εβοή=
θησεν η γη τη γυναικί, και ήνοιξεν η γη το στό
μα αυτής, και κατέπιε τον ποταμόν ον εβα
λεν ο δράκων εκ του στόματος αυτού. και
οργίσθη ο δράκων επί τη γυναικί, και απήλ
θε ποιήσαι πόλεμον μετά των λοιπών του
σπέρματος αυτής των τηρούντων τας εντο

magn9 rufus hñs capita ſeptē ⁊ cor=
nua decē: ⁊ in capitib9 ſuis ſeptem
diademata: ⁊ cauda ei9 trahebat terti
aʒ partē ſtellarū celi: ⁊ miſit
eas in terrā. Et draco ſtetit ante B
mulierem que erat paritura:
vt cū pepiſſet filium ei9 deuoraret.
Et pepit filiū maſculū q̄ recturꝰ erat
oēs gētes in virga ferrea. Et rapt9 eſt
filius eius ad deum ⁊
ad thronū eius: ⁊ mulier fugit
in ſolitudinē vbi habebat locū paratū
a deo: vt ibi paſcāt
eam diebus mille ducētis ſexaginta.
Et factū eſt p̄liū magnū in celo.
Michael ⁊ angeli eius preliabantur
cum dracone: ⁊ draco pugnabat
⁊ angeli eius: ⁊ non valuerunt
neqʒ loc9 inuent9 eſt eoꝝ amplꝰ in ce
lo. Et p̄iect9 eſt draco ille magn9 ſer
pēs antiqu9 q̄ vocat̄ diabolus: ⁊ ſatha
nas q̄ ſeducit vniuerſū orbē: p̄iect9 ē
in terram: ⁊ angeli eius cum
illo miſſi ſūt. Et audiui vocē magnam C
in celo dicentez. Nunc facta eſt
ſalus ⁊ virtus ⁊ regnū
dei noſtri ⁊ ptās chriſti
ei9: q2 proiect9 eſt accuſator fratruʒ
nroꝝ: q̄ accuſabat illos ante ↄſpectuʒ
dei noſtri die ac nocte. Et ipſi
vicerunt eū propter ſanguinem agni:
⁊ propter verbum teſtimonij ſui:
⁊ nō dilexerunt animas ſuas vſqʒ ad
mortē. Propterea letamini celi
et q̄ habitatis in eis. Ve terre ⁊
mari: q2 deſcēdit diabolus ad vos:
habens iram magnam ſciēs φ modicū
tp̄s hʒ. Et poſtquā vidit draco φ p̄
iect9 eēt i terrā: pſecut9 ē mulierē: q̄ pe
perit maſculū. Et date ſunt mulieri ale D
due aq̄le mag[n]e vt volaret
in deſertū in locū ſuuʒ: vbi
alitur per tempus ⁊ tempora ⁊
dimidium temporis a facie ſerpentis.
Et miſit ſerpens ex ore ſuo
poſt mulierē aquā tāq̄ flumen: vt
eā faceret trahi a flumine. Et adiuuit
terra mulierez: et aperuit os
ſuū: et abſorbuit flumē qđ miſit
draco de ore ſuo. Et
iratus eſt draco in mulierez: et abijt
facere prelium cum reliquis de
ſemine eius qui cuſtodiunt mandata

Digitized by Google

λάς τοῦ θεοῦ, καὶ ἐχόντων τὴν μαρτυρίαν τοῦ ἰησοῦ. καὶ ἐστάθην ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης

Καὶ εἶδον ἐκ τῆς θαλάσσης Ca. 13. θηρίον ἀναβαῖνον ἔχον κέρατα δέκα καὶ κεφαλὰς ἑπτά, καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδήματα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὀνόματα βλασφημίας. καὶ τὸ θηρίον ὃ εἶδον ἦν ὅμοιον παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτου, καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα λέοντος. καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ καὶ ἐξουσίαν μεγάλην. καὶ μίαν ἐκ τῶν κεφαλῶν αὐτοῦ ὡσεὶ ἐσφαγμένην εἰς θάνατον, καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ἐθεραπεύθη. καὶ ἐθαύμασεν ὅλη ἡ γῆ ὀπίσω τοῦ θηρίου. καὶ προσεκύνησαν τῷ δράκοντι τῷ δεδωκότι τὴν ἐξουσίαν τῷ θηρίῳ καὶ προσεκύνησαν τῷ θηρίῳ λέγοντες τίς ὅμοιος τῷ θηρίῳ, καὶ τίς δυνατὸς πολεμῆσαι μετ' αὐτοῦ. καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλασφημίαν, καὶ ἐδόθη αὐτῷ ἐξουσία πόλεμον ποιῆσαι μῆνας τεσσαράκοντα δύο. καὶ ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς βλασφημίαν πρὸς τὸν θεὸν βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ καὶ τὴν σκηνὴν αὐτοῦ καὶ τοὺς ἐν τῷ οὐρανῷ σκηνοῦντας. καὶ ἐδόθη αὐτῷ ποιῆσαι πόλεμον μετὰ τῶν ἁγίων καὶ νικῆσαι αὐτούς. καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν καὶ γλῶσσαν καὶ ἔθνος, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὸ ὄνομα ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου τοῦ ἐσφαγμένου ἀπὸ καταβολῆς κόσμου. εἴ τις ἔχει οὖς ἀκουσάτω. εἴ τις ἔχει αἰχμαλωσίαν ὑπάγει, εἴ τις ἐν μαχαίρᾳ ἀποκτενεῖ, δεῖ αὐτὸν ἐν μαχαίρᾳ ἀποκτανθῆναι. ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων. καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχε κέρατα δύο ὅμοια ἀρνίῳ. καὶ ἐλάλει ὡς δράκων. καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ, καὶ ἐποίει τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας ἵνα προσκυνήσωσι τὸ θηρίον τὸ πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ. καὶ ποιεῖ σημεῖα μεγάλα καὶ πῦρ ἵνα ἐκ τοῦ οὐρανοῦ καταβαίνῃ ἐπὶ τὴν γῆν ἐνώπιον τῶν ἀνθρώπων. καὶ πλανᾷ τοὺς ἐμοὺς τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς διὰ τὰ σημεῖα ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου, λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς ποιῆσαι εἰκόνα τῷ θηρίῳ ὃ εἶχε τὴν πληγὴν τῆς μαχαίρας, καὶ ἔζησε. καὶ ἐδόθη αὐτῷ πνεῦμα δοῦναι τῇ εἰκόνι τοῦ θηρίου,

dei: ꝛ habent teſtimonium ieſu xpi: et ſteti ſup arenā maris

A

Et vidi de mari Cap. 13. beſtiā aſcēdentē hñtē capita ſeptē ꝛ cornua decē: ꝛ ſup cornua eiꝰ decē diademata: ꝛ ſuper capita eius noīa blaſphemie. Et beſtia quā vidi ſimilis erat pardo: ꝛ pedes eius ſicut pedes vrſi: ꝛ os eius ſicut os leonis. Et dedit illi draco virtutem ſuam ꝛ ptātē magnā. Et vidi vnū de capitibus ſuis quaſi occiſum in mortē: ꝛ plaga mortis eius curata eſt. Et admirata eſt vniuerſa terra poſt beſtiam. Et adorauerunt draconē: q dedit poteſtatē beſtie: ꝛ adorauerūt beſtiam dicentes. Quis ſimilis beſtie ꝛ quis poterit pugnare cum ea?

B

Et datū eſt ei os loquens magna ꝛ blaſphemias: ꝛ data eſt ei poteſtas facere bellum menſes quadraginta duos. Et aperuit os ſuū ī blaſphemias ad deū: blaſphemare nomen eius ꝛ tabernaculū eius ꝛ eos qui in celo hītāt. Et datū ē illi bellū facere cum ſanctis: ꝛ vincere eos. Et data ē illi ptās in omnē tribū ꝛ populum ꝛ linguā ꝛ gentē: ꝛ adorauerūt eā omnes qui inhabitabant terrā: quoꝝ nō ſūt ſcripta noīa ī libro vite agni qui occiſus eſt ab origine mundi. Si qs hȝ aurē audiat. Qui ī captiuitatē duxerit ī captiuitatē vadet: q ī gladio occiderit opꝫ eū gladio occidi. Hic eſt patientia ꝛ fides ſctoꝝ. Et vidi aliam beſtiam aſcendentē de terra: ꝛ habebat cornua duo ſimilia agni. Et loqbat ſicut draco. Et ptātem prioris beſtie omnem faciebat in cōſpectu eiꝰ: ꝛ fecit terram ꝛ habitantes in ea adorare beſtiam primā: cuius curata eſt plaga mortis. Et fecit ſigna magna vt etiā ignē faceret d celo deſcendere in terram in cōſpectu hominum. Et ſeduxit habitantes in terra pp ſigna que data ſūt illi facere ī ɔſpectu beſtie: dicens hītantibꝰ ī terra vt faciāt imaginē beſtie que habet plagam gladii: ꝛ vixit. Et datum eſt illi vt daret ſpiritum imagini beſtie:

C

Ioh. 20. d
Phil. 4. a

Mat. 26. e
Gene. 9. a

D

MM

καὶ ἵνα λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου, καὶ ποιεῖ
τοὺς μὴ προσκυνοῦντας τὴν εἰκόνα τοῦ θη=
ρίου ἵνα ἀποκτανθῶσι. καὶ ποιεῖ πάντας τοὺς
μικροὺς καὶ τοὺς μεγάλους καὶ τοὺς πλου
σίους καὶ τοὺς πτωχοὺς καὶ τοὺς ἐλευθέ=
ρους καὶ τοὺς δούλους ἵνα δώσιν αὐτοῖς
χαράγματα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δε=
ξιᾶς, ἢ ἐπὶ τῶν μετώπων αὐτῶν, καὶ ἵνα
μήτις δύνηται ἀγοράσαι ἢ πωλῆσαι, εἰ μὴ ὁ
ἔχων τὸ χάραγμα ἢ τὸ ὄνομα τοῦ θηρίου,
ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ. ὧδε
ἡ σοφία ἐστίν. ὁ ἔχων νοῦν ψηφισάτω τὸν ἀ
ριθμὸν τοῦ θηρίου. ἀριθμὸς γὰρ ἀνθρώ=
που ἐστί, καὶ ὁ ἀριθμὸς αὐτοῦ ἐστὶν ἑξακό=
σιοι ἑξήκοντα ἕξ. Cap.14

Καὶ εἶδον καὶ ἰδοὺ ἀρνίον ἑστηκὸς ἐπὶ τὸ
ὄρος σιών, καὶ μετ᾽ αὐτοῦ ἑκατὸν τεσ
σαράκοντα τέσσαρες χιλιάδες ἔχουσαι τὸ
ὄνομα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐ
τοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν.
καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὡς φω
νὴν ὑδάτων πολλῶν καὶ ὡς φωνὴν βρον=
τῆς μεγάλης, καὶ ἡ φωνὴ ἣν ἤκουσα ὡς κι
θαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐ
τῶν, καὶ ᾄδουσιν ᾠδὴν καινὴν ἐνώπιον τοῦ
θρόνου καὶ ἐνώπιον τῶν τεσσάρων ζώων
καὶ τῶν πρεσβυτέρων, καὶ οὐδεὶς ἐδύνατο
μαθεῖν τὴν ᾠδήν, εἰ μὴ αἱ ἑκατὸν τεσσαρά=
κοντα τέσσαρες χιλιάδες οἱ ἠγορασμένοι ἀ=
πὸ τῆς γῆς. οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν
οὐκ ἐμολύνθησαν, παρθένοι γάρ εἰσιν. οὗ
τοι εἰσὶν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου
γὰρ ἂν ὑπάγῃ. οὗτοι ὑπὸ ἰησοῦ ἠγοράσ
θησαν ἀπὸ τῶν ἀνθρώπων ἀπαρχὴ τῷ θεῷ
καὶ τῷ ἀρνίῳ, καὶ ἐν τῷ στόματι αὐτῶν
οὐχ εὑρέθη ψεῦδος. ἄμωμοι γάρ εἰσι. καὶ
εἶδον ἄλλον ἄγγελον πετόμενον ἐν μεσου
ρανήματι ἔχοντα εὐαγγέλιον αἰώνιον εὐαγ
γελίσασθαι τοὺς καθημένους ἐπὶ τῆς γῆς καὶ
ἐπὶ πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν
καὶ λαόν, λέγων ἐν φωνῇ μεγάλῃ. φοβήθη
τε τὸν θεὸν καὶ δότε αὐτῷ δόξαν ὅτι ἦλθεν ἡ
ὥρα τῆς κρίσεως αὐτοῦ, καὶ προσκυνήσατε
τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ
τὴν θάλασσαν καὶ πηγὰς ὑδάτων. καὶ ἄλ
λος ἄγγελος δεύτερος ἠκολούθησε λέγων.
ἔπεσεν ἔπεσε βαβυλὼν ἡ μεγάλη, ἐκ τοῦ οἴ
νου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πεπότι
κε πάντα τὰ ἔθνη. καὶ ἄλλος ἄγγελος τρί
τος ἠκολούθησεν αὐτοῖς, λέγων ἐν φωνῇ
μεγάλῃ. εἴ τις προσκυνεῖ τὸ θηρίον καὶ
τὴν εἰκόνα αὐτοῦ, καὶ λαμβάνει χάραγ
μα ἐπὶ τοῦ μετώπου αὐτοῦ ἢ ἐπὶ τὴν χεῖρα
αὐτοῦ, καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ

& vt loquatur imago bestie: & faciet vt
quicunq3 nõ adorauerit imaginẽ bestie:
occidatur. Et faciet oẽs
pusillos & magnos & diuites
& pauperes et liberos
& seruos habere
characterem in dextera manu
aut in frontibus suis: et
ne q̃s possit emere aut vendere: nisi
q̃ habeat characterem aut nomẽ bestie:
aut numerũ nominis ei9. Hic
sapia est. Qui hz itellectũ cõputet nu=
merũ bestie. Numerus enim hominis
est: & numer9 eius sexcenti sexaginta
sex. Cap.14.

Et vidi: & ecce agnus stabat supra A
mõtẽ sion: & cũ eo centũ q̃dragin
ta quattuor milia habentes
nomẽ ei9 et nomẽ patris eius
scriptum in frontibus suis.
Et audiui vocem de celo tanq̃ vocẽ
aquarũ multarũ: & tanq̃ vocem tonitrui
magni: & vocẽ quã audiui sicut citha
redorũ citharizantiũ in citharis suis:
& cãtabant quasi canticum nouũ ante
sedẽ & ante q̃ttuor animalia
& seniores: & nemo poterat
discere canticũ nisi illa centum q̃dragi
ta q̃ttuor milia q̃ empti sunt de
terra. Hi sunt qui cum mulieribus
non sũt coinq̃nati: virgines enim sũt. Hi
sequuntur agnũ quocunq3
ierit. Hi empti sunt
ex omnibus primitie deo
& agno: & in ore eorum
nõ est inuẽtũ mẽdaciũ. Sine macula enim sũt
añ thronũ dei. Et vidi alterũ angelũ vo B
lãtẽ per mediũ celũ hñtẽ euãgeliũ eternũ
vt euãgelizaret sedentibus sup terrã &
sup oẽs gentẽ & tribum & linguã
& pplm: dicẽs magna voce. Timete Ps.33
dñm: & date illi honorẽ: q̃ venit po.145 Ac.14.c.
hora iudicij eius: & adorate
eũ qui fecit celum & terram
mare & fontes aquarum. Et alius
angelus secutus est dicens.
Cecidit cecidit babylõ illa magna: q̃ a I.18.a.
vino ire fornicatiõis sue potauit Iere.51.b. Esaie.21.c.
omnes gentes. Et terti9 ãgel9
secut9 est illos dicẽs voce
magna. Si q̃s adorauerit bestiam et
imaginẽ ei9: & acceperit characterem
in fronte sua aut in manu
sua: hic bibet de vino

Digitized by Google

θυμού/του θεού/του κεκερασμένου ακρά=
του εν/τω ποτηρίω της οργής αυτού, και
βασανισθήσεται εν πυρί και θείω ενώπιον
/των αγίων αγγέλων και ενώπιον/του αρ=
νίου. και/ο καπνός/του βασανισμού αυτών
εις αιώνας αιώνων αναβαίνει και ουκ έχου
σιν ανάπαυσιν ημέρας και νυκτός/οι προσ=
κυνούντες/το θηρίον και/την εικόνα αυτού,
και είτις λαμβάνει/το χάραγμα/του ονόμα
τος αυτού. ώδε υπομονή/των αγίων εστίν,
ώδε/οι τηρούντες/τας εντολάς/του θεού
και/την πίστιν/του ιησού, και ήκουσα φω
νής εκ/του ουρανού λεγούσης μοι. γράψον
μακάριοι/οι νεκροί/οι εν κυρίω αποθνήσκον
τες. απάρτι λέγει ναι/το πνεύμα ίνα ανα=
παύσωνται εκ/των κόπων αυτών./τα δε έρ
γα αυτών ακολουθεί μετ αυτών. και εί=
δον, και ιδού νεφέλη λευκή, και επί/την νε
φέλην καθήμενος όμοιος υιώ ανθρώπου, έ
χων επί/της κεφαλής αυτού στέφανον χρυ
σουν, και εν/τη χειρί αυτού δρέπανον οξύ,
και άλλος άγγελος εξήλθεν εκ/του ναού
κράζων εν φωνή μεγάλη/τω καθημένω επί
/της νεφέλης. πέμψον/το δρέπανον σου
και θέρισον, ότι ήλθεν/η ώρα/του θερίσαι,
ότι εξηράνθη/ο θερισμός/της γης. και έβαλεν
/ο καθήμενος επί/την νεφέλην/το δρέπανον
αυτού επί/την γην, και εθερίσθη/η γη. και
άλλος άγγελος εξήλθεν εκ/του ναού/του
εν/τω ουρανώ, έχων και αυτός δρέπανον ο
ξύ. και άλλος άγγελος εξήλθεν εκ/του θυ=
σιαστηρίου, έχων εξουσίαν επί/του πυρός,
και εφώνησε κραυγή μεγάλη/τω έχοντι/το
δρέπανον/το οξύ, λέγων. πέμψον σου/το
δρέπανον/το οξύ, και τρύγησον/τους βό=
τρυας/της αμπέλου/της γης, ότι ήκμασαν/αι
σταφυλαί αυτής. και έβαλεν/ο άγγελος
/το δρέπανον αυτού εις/την γην, και ετρύ
γησε/την άμπελον/της γης, και έβαλεν εις
/την ληνόν/του θυμού/του θεού/τον μέγαν.
και επατήθη/η ληνός έξωθεν/της πόλεως,
και εξήλθεν αίμα εκ/της ληνού άχρι/των χα
λινών/των ίππων από σταδίων χιλίων εξα
κοσίων.

Cap. 15.

Και είδον άλλο σημείον εν/τω ουρανώ
μέγα και θαυμαστόν, αγγέλους επτά
έχοντας πληγάς επτά/τας εσχάτας, ότι
εν αυταίς ετελέσθη/ο θυμός/του θεού. και
είδον ως θάλασσαν υελίνην πυρί μεμιγμέ
νην, και/τους νικώντας εκ/του θηρίου και εκ
/της εικόνος αυτού και εκ/του αριθμού
/του ονόματος αυτού, εστώτας επί/την θά
λασσαν/την υελίνην, έχοντας κιθάρας/του
θεού, και άδουσι/την ωδήν μωύσεος/του

ire dei qđ mixtum eſt mero
in calice ire ipſius: et
cruciabitur igne et ſulphure in cōſpectu
angelorū ſanctorum: ⁊ añ cōſpectū agni. C
Et fumus tormentorum eorum ſupra. 9. a.
deſcendet in ſecula ſeculorum: nec habēt et .j. 19. a.
requiē diei ac nocte qui adorauerunt
beſtiam et imaginem eius:
⁊ ſi quis acceperit characterem nominis
eius. Hic patientia ſanctorum eſt:
qui cuſtodiunt mandata dei
⁊ fidem ieſu. Et audiui vocem
de celo dicentem mihi. Scribe
beati mortui qui in domino moriuntur.
Amodo iam dicit ſpiritus vt requieſcāt
a laboribus ſuis. Opera enim
illorum ſequuntur illos. Et vidi:
⁊ ecce nubē candidam: et ſuper nubem
ſedentem ſimilem filio hoīs: habentem
in capite ſuo coronam auream:
et in manu ſua falcem acutam.
Et alius angelus exiuit de templo
clamās voce magna ad ſedentem ſuper
nubem. Mitte falcem tuam D
⁊ mete: q2 venit hora vt metatur:
qm̄ aruit meſſis terre. Et miſit
qui ſedebat ſuper nubem falcem
ſuam in terram et meſſuit eam. Et
alius angelus exiuit de templo: qđ eſt
in celo: habens et ipſe falcem acutā.
Et alius angelus exiuit de altari:
qui habebat poteſtatem ſupra ignem:
⁊ clamauit voce magna ad eum q̄ habe
bat falcem acutam dicens. Mitte falcē
tuā acutā ⁊ vindemia botros
vinee terre: quoniam mature ſunt
vue eius. Et miſit angelus
falcē ſuā acutā in terram: ⁊ vindemiauit
vineā terre: ⁊ miſit in
lacū ire dei magnū.
Et calcatus eſt lacus extra ciuitatē:
et exiuit ſanguis de lacu vſq; ad frenos
equorum per ſtadia mille ſexcenta.

Cap. 15.

ET vidi aliud ſignum in celo A
magnū ⁊ mirabile: angelos ſeptē
hn̄tes plagas ſeptē nouiſſimas: quoniā
in illis conſūmata eſt ira dei. Et
vidi tanq̄ mare vitreū mixtū
igne: ⁊ eos qui vicerunt beſtiam et
imaginē eius: ⁊ numerū
nois eius ſtantes ſupra mare
vitreum habentes citharas
dei: ⁊ cantantes canticum moyſi

δούλου τοῦ θεοῦ καὶ τὴν ᾠδὴν τοῦ ἀρνί
ου, λέγοντες. μεγάλα καὶ θαυμαστὰ τὰ ἔρ
γα σου κύριε ὁ θεὸς ὁ παντοκράτωρ. δίκαιαι
καὶ ἀληθιναὶ αἱ ὁδοί σου ὁ βασιλεὺς τῶν
ἐθνῶν. τίς οὐ μὴ φοβηθῇ σε κύριε, καὶ δο
ξάσῃ τὸ ὄνομά σου, ὅτι μόνος ἅγιος εἶ, ὅτι
πάντα τὰ ἔθνη ἥξουσι καὶ προσκυνήσουσιν
ἐνώπιόν σου, ὅτι τὰ δικαιώματά σου ἐφα=
νερώθησαν. καὶ μετὰ ταῦτα εἶδον καὶ ἠνοί=
γη ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ
οὐρανῷ. καὶ ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι οἱ ἔ=
χοντες τὰς ἑπτὰ πληγὰς ἐκ τοῦ οὐρανοῦ, οἳ
ἦσαν ἐνδεδυμένοι λίνον καὶ καθαρὸν καὶ
λαμπρόν, καὶ περιεζωσμένοι περὶ τὰ στή
θη ζώνας χρυσᾶς. καὶ ἓν ἐκ τῶν τεσσάρων ζώ
ων ἔδωκε τοῖς ἑπτὰ ἀγγέλοις ἑπτὰ φιά=
λας χρυσᾶς γεμούσας τοῦ θυμοῦ τοῦ θε=
οῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
καὶ ἐγεμίσθη ὁ ναὸς καπνοῦ ἐκ τῆς δόξης
τοῦ θεοῦ καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ, καὶ
οὐδεὶς ἠδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν ἄχρι
τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἀγγέλων.

Cap.16.

Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ ναοῦ
λεγούσης τοῖς ἑπτὰ ἀγγέλοις. ὑπάγε
τε ἐκχέατε τὰς φιάλας τοῦ θυμοῦ τοῦ θεοῦ
εἰς τὴν γῆν. καὶ ἀπῆλθεν ὁ πρῶτος καὶ ἐξέχεε
τὴν φιάλην αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἐγένετο
ἕλκος κακὸν καὶ πονηρὸν εἰς τοὺς ἀνθρώ=
πους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου
καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ.
καὶ ὁ δεύτερος ἄγγελος ἐξέχεε τὴν φιάλην
αὐτοῦ εἰς τὴν θάλασσαν, καὶ ἐγένετο αἷμα
ὡς νεκροῦ, καὶ πᾶσα ψυχὴ ζῶσα ἀπέθανεν
ἐν τῇ θαλάσσῃ. καὶ ὁ τρίτος ἄγγελος ἐξέχεε
τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς καὶ τὰς
πηγὰς τῶν ὑδάτων, καὶ ἐγένετο αἷμα. καὶ
ἤκουσα τοῦ ἀγγέλου τῶν ὑδάτων λέγον=
τος. δίκαιος εἶ ὁ ὢν, καὶ ὁ ἦν ὁ ὅσιος, ὅτι
ταῦτα ἔκρινας, ὅτι αἷμα ἁγίων καὶ προφη=
τῶν ἐξέχεαν, καὶ αἷμα αὐτοῖς ἔδωκας πιεῖν
ἄξιοί εἰσι καὶ ἤκουσα ἐκ τοῦ θυσιαστηρίου λέ
γοντος. ναὶ κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ἀ
ληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου καὶ ὁ τέταρ
τος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ
τὸν ἥλιον, καὶ ἐδόθη αὐτῷ καυματίσαι τοὺς
ἀνθρώπους ἐν πυρί. καὶ ἐκαυματίσθησαν
οἱ ἄνθρωποι καῦμα μέγα, καὶ ἐβλασφή=
μησαν οἱ ἄνθρωποι τὸ ὄνομα τοῦ θεοῦ
τοῦ ἔχοντος τὴν ἐξουσίαν ἐπὶ τὰς πλη
γὰς ταύτας, καὶ οὐ μετενόησαν δοῦναι
αὐτῷ δόξαν. καὶ ὁ πέμπτος ἄγγελος
ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον
τοῦ θηρίου, καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ

ſerui dei: et canticum agni. B
dicētes. Magna et mirabilia ſūt opa
tua domine deus omnipotens: iuſte
et vere ſunt vie tue domine rex
ſeculoꝝ. Quis nō timebit te dñe et ma
gnificabit nomē tuū? Qz ſolus pius es:
qm oēs gentes veniēt et adorabunt
in ꝯſpectu tuo: qm iudicia tua manife
ſta ſūt. Et poſt hec vidi: et ecce aptū ē C
templū tabernaculi teſtimonij in
celo. Et exierūt ſeptē angeli habentes
ſeptem plagas de templo
veſtiti lino mundo et
candido: et precincti circa pectora
zonis aureis. Et vnū de q̄ttuor aialib⁹ D
dedit ſeptem angelis ſeptem phialas
aureas plenas iracundie dei
viuentis in ſecula ſeculorum.
Et impletū ē tēplū dei fumo a maieſtate
dei et de virtute eius: et
nemo poterat introire in tēplum donec
ꝯſūmarent ſeptē plage ſeptē angelorum.

Cap.16.

Et audiui vocē magnā de templo A
dicentē ſeptē angelis. Ite et
effundite ſeptē phialas ire dei
in terrā. Et abijt pm⁹ angelus et effu=
dit phialā ſuā in terram: et factum eſt
vulnus ſeuū et peſſimū in homines
qui habebāt characterem beſtie et ei⁹.
et in eos q̄ adorauerūt beſtiā et imaginē
Et ſcd̄s angelus effudit phialam
ſuā in mare: et factus eſt ſanguis
tanq̄ mortui: et oīs aīa viuēs mortua ē
in mari. Et tertius effudit
phialam ſuam ſuper flumina et ſuper
fontes aq̄: et factus eſt ſanguis. Et
audiui angelū aquarū dicentem.
Iuſtus es dñe q̄ es et q̄ eras ſctūs: q̄ B
hoc iudicaſti: qz ſāguinē ſctōꝝ et pphe
tarū effunderūt: et ſāguinē eis dediſti bi
bere. Digni ei ſūt. Et audiui de altari
dicētē. Etiā dñe deus oipotens vera
et iuſta iudicia tua. Et quartus
angelus effudit phialam ſuam in
ſolem: et datū eſt illi eſtu affligere
hoies et igni. Et eſtuauerunt
hoies eſtu magno: et blaſphemauerunt
nomen dei
habentis ptātē ſuper has plagas:
neqz egerunt penitentiam vt darent
illi gloriam. Et quintus angelus
effudit phialam ſuam ſuper ſedem
beſtie: et factum eſt regnum eius

Digitized by Google

ἐσκοτωμένη, καὶ ἐμασσῶντο τὰς γλώσσας
αὐτῶν ἐκ τοῦ πόνου, καὶ ἐβλασφήμησαν
τὸν θεὸν τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐ
τῶν καὶ ἐκ τῶν ἑλκῶν αὐτῶν, καὶ οὐ μετε
νόησαν ἐκ τῶν ἔργων αὐτῶν. καὶ ὁ ἕκτος
ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν
ποταμὸν τὸν μέγαν εὐφράτην, καὶ ἐξη=
ράνθη τὸ ὕδωρ αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁ=
δὸς τῶν βασιλέων τῶν ἀπὸ ἀνατολῶν ἡ=
λίου. καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δρά
κοντος καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου καὶ
ἐκ τοῦ στόματος τοῦ ψευδοπροφήτου
πνεύματα τρία ἀκάθαρτα ὡς βάτραχοι.
εἰσὶ γὰρ πνεύματα δαιμόνων ποιοῦντα
σημεῖα, ἃ ἐκπορεύεται ἐπὶ τοὺς βασιλεῖς
τῆς οἰκουμένης ὅλης, συναγαγεῖν αὐτοὺς
εἰς τὸν πόλεμον τῆς ἡμέρας ἐκείνης τῆς με
γάλης τοῦ θεοῦ τοῦ παντοκράτορος. ἰδοὺ
ἔρχομαι ὡς κλέπτης. μακάριος ὁ γρηγο=
ρῶν καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, ἵνα μὴ
γυμνὸς περιπατῇ, καὶ βλέπωσι τὴν ἀσχη=
μοσύνην αὐτοῦ. καὶ συνήγαγεν αὐτοὺς
εἰς τόπον τὸν καλούμενον ἑβραϊστὶ ἀρμα
γεδών. καὶ ὁ ἕβδομος ἄγγελος ἐξέχεε τὴν
φιάλην αὐτοῦ εἰς τὸν ἀέρα, καὶ ἐξῆλθε φω
νὴ μεγάλη ἀπὸ τοῦ ναοῦ τοῦ οὐρανοῦ ἀ
πὸ τοῦ θρόνου λέγουσα. γέγονε. καὶ ἐγέ
νοντο ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναί, καὶ
σεισμὸς ἐγένετο μέγας οἷος οὐκ ἐγένετο
ἀφ᾽ οὗ οἱ ἄνθρωποι ἐγένοντο ἐπὶ τῆς γῆς
τηλικοῦτος σεισμὸς οὕτω μέγας. καὶ ἐγέ
νετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ
αἱ πόλεις τῶν ἐθνῶν ἔπεσον. καὶ βαβυ=
λὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ θεοῦ,
δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ
θυμοῦ τῆς ὀργῆς αὐτοῦ. καὶ πᾶσα νῆσος
ἔφυγε, καὶ ὄρη οὐχ εὑρέθησαν. καὶ χά=
λαζα μεγάλη ὡς ταλαντιαία καταβαίνει
ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώπους, καὶ
ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν θεὸν ἐκ τῆς
πληγῆς τῆς χαλάζης, ὅτι μεγάλη ἐστὶν ἡ
πληγὴ αὐτῆς σφόδρα. Cap.17.

Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν
ἐχόντων τὰς ἑπτὰ φιάλας, καὶ ἐλάλη=
σε μετ᾽ ἐμοῦ λέγων. δεῦρο δείξω σοι τὸ
κρίμα τῆς πόρνης τῆς μεγάλης τῆς καθημέ
νης ἐπὶ τῶν ὑδάτων τῶν πολλῶν, μεθ᾽ ἧς
ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ ἐμεθύ
σθησαν οἱ κατοικοῦντες τὴν γῆν ἐκ τοῦ οἴνου
τῆς πορνείας αὐτῆς. καὶ ἀπήνεγκέ με εἰς ἔρη
μον ἐν πνεύματι καὶ εἶδον γυναῖκα καθημένην
ἐπὶ θηρίον κόκκινον γέμον ὀνομάτων βλασ
φημίας, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέ

tenebroſum: ⁊ cõmanducauerũt linguas
ſuas pre dolore: ⁊ blaſphemauerunt
deum celi pre doloribus
et vulneribus ſuis: et nõ egerũt penitẽtiã
ex operibus ſuis. Et ſextus C
angelus effudit phialam ſuam in
flumẽ illud magnũ eufratẽ: et ſiccauit
aquam eius: vt prepararetur via
regibus ab ortu ſolis.
Et vidi de ore draconis
et de ore beſtie et
de ore pſeudopropbete exire
ſpũs tres immũdos in modũ ranarum.
Sunt .n. ſpũs demoniorũ facientes
ſigna: ⁊ procedunt ad reges
totius terre congregare illos
in pliũ ad diẽ magnũ
omnipotentis dei. Ecce ſupra.3.d.
venio ſicut fur. Beatus qui vigilat 1.The.5.a
et cuſtodit veſtimenta ſua ne 2.Pe.3.c.
nudus ambulet ⁊ videant turpitudinẽ Mat.24.d Luce.12.e.
eius. Et congregauit illos 2.Co.5.a.
in locũ q̃ vocat hebraice hermagedon.
Et ſeptimus angelus effudit D
phialam ſuã in aerem: et exiuit vox
magna de templo a
throno dicens. Factũ eſt. Et factã ſunt
fulgura et voces ⁊ tonitrua: et
terremot⁹ factus eſt magn⁹ qlis nũq̃ fu
it ex quo homines fuerunt ſuper terram
talis terremot⁹ ſic magn⁹. Et facta eſt
ciuitas magna in tres partes: et
ciuitates gentiũ ceciderunt. Et babylon
magna venit in memoriam ante deum:
dare illi calicem vini
indignatiõis ire ei⁹. Et omnis inſula
fugit: et montes non ſunt ĩuẽti. Et grã
do magna ſicut talentũ deſcendit
de celo in homines: et
blaſphemauerunt homines deum ꝓpter
plagã grãdinis: qm̃ magna facta eſt
vehementer. Cap.17

Et venit vnus de ſeptẽ angelis A
q̃ hñbant ſeptẽ phialas. Et locut⁹
ẽ mecũ dicẽs. Ueni ⁊ oſtendã tibi
dãnationẽ meretricis magne que ſedet
ſuper aquas multas: cũ qua
fornicati ſunt reges terre: ⁊ inebriati ſunt
qui inhabitant terram de vino
proſtitutionis eius. Et abſtulit me in
ſpũ ĩ deſertũ. Et vidi mulierẽ ſedẽtẽ ſup
beſtiã coccineã plenã noĩbus blaſphemie:
hñtẽ capita ſeptẽ et cornua decem.



Digitized by Google

κα. και η γυνή ην περιβεβλημένη πορφύ=
ραν και κόκκινον, κεχρυσωμένη χρυσώ
και λίθω τιμίω και μαργαρίταις, έχουσα
χρυσούν ποτήριον εν τη χειρί αυτής γέ=
μον βδελυγμάτων και τα ακάθαρτα της
πορνείας αυτής. και επί το μέτωπον αυτής
όνομα γεγραμμένον μυστήριον, βαβυ=
λών η μεγάλη η μήτηρ των πόρνων και
των βδελυγμάτων της γης. και είδον την
γυναίκα μεθύουσαν εκ του αίματος των
αγίων και εκ του αίματος των μαρτύρων
ιησού. και εθαύμασα ιδών αυτήν θαύμα
μέγα, και είπε μοι ο άγγελος. διατί εθαύ=
μασας. εγώ σοι ερώ το μυστήριον της γυ=
ναικός και του θηρίου του βαστάζοντος αυ
τήν του έχοντος τας επτά κεφαλάς και τα
δέκα κερατα. το θηρίον ο είδες, ην και ουκ
εστί, και μέλλει αναβαίνειν εκ της αβύσ=
σου, και εις απώλειαν υπάγειν, και θαυ=
μάσονται οι κατοικούντες επί της γης, ων
ου γέγραπται τα ονόματα επί το βιβλί=
ον της ζωής από καταβολής κόσμου, βλέ=
ποντες το θηρίον, ότι ην και ουκ εστί. και
παρέσται. ώδε ο νούς ο έχων σοφίαν. αι επ
τά κεφαλαί επτά όρη εισίν, όπου η γυνή
κάθηται επ' αυτών, και βασιλείς επτά ει=
σίν. οι πέντε έπεσον, ο εις εστίν, ο άλλος
ούπω ήλθε. και όταν έλθη, ολίγον αυ=
τόν δει μείναι. και το θηρίον ο ην και
ουκ έστι, και αυτός όγδοος εστί, και
εκ των επτά εστί, και εις απώλειαν υπά=
γει. και τα δέκα κέρατα α είδες, δέκα βασι
λείς εισίν, οίτινες βασιλείαν ούπω έλαβον,
αλλ' εξουσίαν ως βασιλείς μίαν ώραν λαμ
βάνουσι μετά του θηρίου. ούτοι μίαν γνώ
μην έχουσι, και την δύναμιν και την εξου=
σίαν αυτών τω θηρίω διδόασιν. ούτοι με
τά του αρνίου πολεμήσουσι, και το αρνί=
ον νικήσει αυτούς, ότι κύριος κυρίων εστί
και βασιλεύς βασιλέων, και οι μετ' αυτού
κλητοί και εκλεκτοί και πιστοί. και λέγει
μοι. τα ύδατα α είδες ου η πόρνη κάθηται
λαοί και όχλοι εισί, και έθνη και γλώσ=
σαι, και τα δέκα κέρατα α είδες και το θη=
ρίον, ούτοι μισήσουσι την πόρνην, και η=
ρημωμένην ποιήσουσιν αυτήν, και γυμνήν
ποιήσουσιν αυτήν, και τας σάρκας αυτής
φάγονται, καί αυτήν κατακαύσουσιν εν πυ
ρί. ο γαρ θεός έδωκεν εις τας καρδίας αυτών
ποιήσαι την γνώμην αυτού, και ποιήσαι
γνώμην μίαν, και δούναι την βασιλείαν αυ
τών τω θηρίω, άχρι τελεσθήσονται οι λόγοι

Et mulier erat circundata purpura
⁊ coccino ⁊ inaurata auro
⁊ lapide precioſo ⁊ margaritis: habens
poculum aureū in manu ſua plenum
abominatione ⁊ immundicia
fornicationis eius. Et in fronte eius B
nomen ſcriptum myſteriū: babylon
magna mater fornicationum ⁊
abominationum terre. Et vidi
mulierem ebriam de ſanguine
ſctōꝝ ⁊ de ſanguine martyrum
ieſu. Et miratꝰ ſū cū viderē illã ãmira=
tiōe magna: ⁊ dixit mihi ãgelꝰ. Quare
miraris? Ego dicã tibi ſacramētū mu=
lieris ⁊ beſtie que portat eam:
que habet capita ſeptem et ⌈ non
cornua decē. Beſtia quã vidiſti fuit ⁊
eſt: ⁊ aſcenſura eſt de abyſſo:
⁊ in interitū ibit: ⁊ mirabuntur
inhabitantes terram quorum
non ſunt ſcripta nomina in libro
vite a conſtitutione mundi: videntes
beſtiam que erat ⁊ non eſt. Et C
hic eſt ſenſus qui hꝫ ſapiãꝫ. Septeꝫ
capita ſeptem montes ſunt: ſuper quos
mulier ſedet: ⁊ reges ſeptem ſunt.
Quiqꝫ ceciderūt: vnus eſt: et alius
nōdū venit. Et cū venerit opꝫ illū breue
tp̄s manere. Et beſtia que erat ⁊
non eſt: ⁊ ipſa octaua eſt: et
de ſeptem eſt: et in interitum vadet.
Et decē cornua q̄ vidiſti: decem reges
ſunt: qui regnum nondum acceperunt
ſꝫ p̄tãtē tanq̄ reges vna hora accipient
poſt beſtiam. Hi vnū conſilium
habent: ⁊ virtutem et poteſtatem
ſuam beſtie tradent. Hi cum D
agno pugnabunt: et agnus
vincet illos: qm̄ dn̄s dn̄orum eſt j.19.c.
⁊ rex regū: et qui cum illo ſunt 1.Thi.6.d
vocati ⁊ electi ⁊ fideles. Et dixit
mihi. Aq̄s q̄s vidiſti vbi meretrix ſedet:
populi ſunt ⁊ gentes et lingue:
⁊ decē cornua que vidiſti in beſtia:
hi odient fornicariam: et deſolatam
facient illam et nudam:
et carnes eius
manducabunt: ⁊ ipſaꝫ igni cōcremabūt.
Deus ei dedit in corda eorum
vt faciant qđ placitum eſt illi:
vt dent regnum ſuum
beſtie: donec conſummentur verba

Digitized by Google

του θεού. και η γυνή ην είδες εστίν η πόλις
η μεγάλη η έχουσα βασιλείαν επί των βα
σιλέων της γης. Cap. 18.
Και μετά ταύτα είδον άλλον άγγελον κα
ταβαίνοντα εκ του ουρανού έχοντα ε
ξουσίαν μεγάλην, και η γη εφωτίσθη εκ της
δόξης αυτού, και έκραξεν εν ισχυρά φωνή,
λέγων. έπεσεν έπεσε βαβυλών η μεγάλη, και
εγένετο κατοικητήριον δαιμόνων και φυλα
κή παντός πνεύματος ακαθάρτου και φυ
λακή παντός ορνέου ακαθάρτου και μεμι
σημένου, ότι εκ του θυμού του οίνου της
πορνείας αυτής πεπότικε πάντα τα έθνη,
και οι βασιλείς της γης μετ αυτής επόρνευ
σαν. και οι έμποροι της γης εκ της δυνάμε
ως του στρήνους αυτής επλούτησαν. και ή
κουσα άλλην φωνήν εκ του ουρανού λέγου
σαν. εξέλθετε εξ αυτής ο λαός μου, ίνα μη
συγκοινωνήσητε ταις αμαρτίαις αυτής, και
εκ των πληγών αυτής ίνα μη λάβητε, ότι ε
κολλήθησαν αυτής αι αμαρτίαι άχρι του ου
ρανού, και εμνημόνευσεν αυτής ο θεός τα α
δικήματα αυτής. απόδοτε αυτή, ως και αυ
τή απέδωκεν υμίν, και διπλώσατε αυτή δι
πλά κατά τα έργα αυτής. εν τω ποτηρίω ω
εκέρασε, κεράσατε αυτή διπλούν. όσα εδό
ξασεν εαυτήν και εστρηνίασε, τοσούτον δό
τε αυτή βασανισμόν, ότι εν τη καρδία αυτής
λέγει ότι κάθημαι βασίλισσα, και χήρα ουκ
ειμί, και πένθος ου μή ίδω. διά τούτο εν μι
ά ημέρα ήξουσιν αι πληγαί αυτής θάνατος
και πένθος και λιμός, και εν πυρί κατακαυ
θήσεται, ότι ισχυρός κύριος ο θεός ο κρίνας
αυτήν. και κλαύσουσι και κόψονται επ' αυ
τήν οι βασιλείς της γης, οι μετ αυτής πορ
νεύσαντες και στρηνιάσαντες, όταν βλέπωσι
τον καπνόν της πυρώσεως αυτής, από
μακρόθεν εστηκότες διά τον φόβον του βα
σανισμού αυτής, λέγοντες. ουαί ουαί η πό
λις η μεγάλη βαβυλών η πόλις η ισχυ
ρά, ότι μιά ώρα ήλθεν η κρίσις σου. και οι
έμποροι της γης κλαίουσι και πενθούσιν
επ αυτή, ότι τον γόμον αυτών ουδείς
αγοράζει ουκέτι, γόμον χρυσού και αργύ
ρου και λίθου τιμίου και μαργαρίτου και
βύσσου και πορφυρού και σηρικού και κοκ
κίνου, και παν ξύλον θύινον και παν σκεύος
ελεφάντινον και παν σκεύος εκ ξύλου τι
μιωτάτου, και χαλκού και σιδήρου και
μαρμάρου, και κιννάμωμον και θυμιά
ματα, και μύρον και λίβανον, και οί
νον και έλαιον, και σεμίδαλιν και σίτον

dei. Et mulier quã vidiſti eſt ciuitas
magna que habet regnũ ſuper reges
terre Cap. 18.
Et poſt hec vidi aliũ angelũ deſcẽ A
dentẽ de celo habentem poteſtatẽ
magnã: et terra illuminata eſt a
gloria eius. Et exclamauit in fortitudie
dicẽs. Cecidit cecidit babylõ magna: et ſupra.14.b
facta eſt habitatio demoniorum et cuſtodia Hie.51.a. Eſa.21.c.
omnis ſpũs immũdi: et cuſtodia
omnis volucris immunde et odibilis:
quia de vino ire
fornicationis eius biberunt omnes gentes.
Et reges terre cum illa fornicati ſũt:
et mercatores terre de virtute
delitiarum eius diuites facti ſunt. Et au
diui aliam vocem de celo dicentem.
Exite de illa populus meus: et ne B
participes ſitis delictorum eius: et
de plagis eius nõ accipiatis. Quoniam per
venerunt peccata eius vſque ad celum:
et recordatus eſt dominus iniquitatum
eius. Reddite illi ſicut et ipſa
reddidit vobis: et duplicate duplicia
ſecundum opera eius. In poculo quo
miſcuit vobis: miſcete illi duplũ. Quan
tum glorificauit ſe et in delitiis fuit: tantum date
illi tormẽtũ et luctum: quia in corde ſuo
dicit. Sedeo regina: et vidua non Eſa.47.a.
ſum: et luctum nõ videbo. Ideo in vna C
die venient plage eius: mors
et luctus et fames: et igne comburetur:
quia fortis eſt dñs deus qui iudicauit
illã. Et flebũt et plangent ſe ſuper illam
reges terre qui cum illa fornicati ſunt
et in deliciis vixerunt: cum viderint
fumum incendii eius:
longe ſtantes propter timorẽ tormẽtorum
eius: dicentes. Ue ve ciuitas illa Jere.51.b.
magna babylon ciuitas illa fortis:
quoniam vna hora venit iudicium tuum. Et
negociatores terre flebunt et lugebunt
ſuper illã: quoniam merces eorum nemo
emet amplius: merces auri et argenti
et lapidis precioſi et margarite et
byſſi et purpure et ſerici et coccini: D
et omne lignũ thyinum: et omnia vaſa
eboris de lapide precioſo
et eramento: et ferro et odoramẽtorum
marmore: et cinamomũ et amomum et
et vnguenti et thuris et vini
et olei et ſimile et tritici

καὶ κτήνη καὶ πρόβατα καὶ ἵππων καὶ ραί-
δων καὶ σωμάτων καὶ ψυχάς ἀνθρώπων.
καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας τῆς ψυχῆς σου
ἀπῆλθεν ἀπό σοῦ, καὶ πάντα τὰ λιπαρὰ καὶ
τὰ λαμπρὰ ἀπώλοντο ἀπό σου, καὶ οὐκέτι
οὐ μὴ εὑρήσεις αὐτά. οἱ ἔμποροι τούτων
οἱ πλουτήσαντες ἀπ' αὐτῆς ἀπό μακρόθεν
στήσονται διὰ τὸν φόβον τοῦ βασανισμοῦ
αὐτῆς, κλαίοντες καὶ πενθοῦντες καὶ λέγον
τες οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη ἡ περιβεβλη
μένη βύσσινον καὶ πορφυροῦν καὶ κόκκινον,
καὶ κεχρυσωμένη ἐν χρυσῷ καὶ λίθῳ τιμίῳ
καὶ μαργαρίταις, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ
τοσοῦτος πλοῦτος. καὶ πᾶς κυβερνήτης καὶ
πᾶς ὁ ἐπὶ τῶν πλοίων πλέων καὶ ναῦται
καὶ ὅσοι τὴν θάλασσαν ἐργάζονται, ἀπό μα
κρόθεν ἔστησαν, καὶ ἔκραζον βλέποντες τὸν
καπνὸν τῆς πυρώσεως αὐτῆς, λέγοντες. τίς
ὁμοία τῇ πόλει τῇ μεγάλῃ. καὶ ἔβαλον χοῦν
ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ἔκραζον κλαίον
τες καὶ πενθοῦντες καὶ λέγοντες. οὐαὶ οὐαὶ
ἡ πόλις ἡ μεγάλη ἐν ᾗ ἐπλούτησαν πάντες
οἱ ἔχοντες τὰ πλοῖα ἐν τῇ θαλάσσῃ ἐκ τῆς
τιμιότητος αὐτῆς, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη. εὐ
φραίνου ἐπ' αὐτῇ οὐρανὲ καὶ οἱ ἅγιοι καὶ οἱ
ἀπόστολοι καὶ οἱ προφῆται, ὅτι ἔκρινεν ὁ θε
ὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς. καὶ ἦρεν εἷς ἄγ
γελος ἰσχυρὸς λίθον ὡς μύλον μέγαν, καὶ
ἔβαλεν εἰς τὴν θάλασσαν λέγων. οὕτως ὁρ
μήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη πό
λις, καὶ οὐ μὴ εὑρέθῃ ἔτι. καὶ φωνὴ κιθαρῳ
δῶν καὶ μουσικῶν καὶ αὐλητῶν καὶ σαλπι
στῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι, καὶ πᾶς τε
χνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι,
καὶ φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι,
καὶ φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι, καὶ
φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ ἀκουσθῇ
ἐν σοὶ ἔτι, ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγισ
τᾶνες τῆς γῆς, ὅτι ἐν τῇ φαρμακείᾳ σου ἐπλα
νήθησαν πάντα τὰ ἔθνη. καὶ ἐν αὐτῇ αἵματα
προφητῶν καὶ ἁγίων εὑρέθη καὶ πάντων
τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς. Cap.19.

Καὶ μετὰ ταῦτα ἤκουσα ὡς φωνὴν ὄχλου
πολλοῦ μεγάλην ἐν τῷ οὐρανῷ λε-
γόντων ἀλληλούϊα. ἡ σωτηρία καὶ ἡ δύνα-
μις καὶ ἡ δόξα τοῦ θεοῦ ἡμῶν, ὅτι ἀληθιναὶ
καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ, ὅτι ἔκρινε τὴν
πόρνην τὴν μεγάλην, ἥτις διέφθειρε τὴν γῆν
ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐξεδίκησε τὸ αἷμα
τῶν δούλων αὐτοῦ ἐκ χειρὸς αὐτῆς. καὶ
δεύτερον εἴρηκεν ἀλληλούϊα. καὶ ὁ καπνὸς
αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων. καὶ ἔπεσον οἱ πρεσβύτεροι οἱ εἰκοσιτέ

